www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΚΑΙ ΒΙΟΣ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ
ΗΜΩΝ

# ΑΛΕΞΙΟΥ

## ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΤΟΥ ΘΕΟΥ

ΨΑΛΛΟΜΕΝΗ

Τῇ ΙΖ΄. Μαρτίου, ἐν ᾗ τελεῖται ἡ μνήμη αὐτοῦ.

Εἰς ἣν προσετέθη καὶ ὁλόκληρος

Ο ΤΟΥ ΑΓΙΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ.

» Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι,
καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν. »
ΣΟΛΟΜ.

ΕΚΔΙΔΕΤΑΙ ΕΠΙΜΕΛΕΙᾼ ΚΑΙ ΔΑΠΑΝῌ

ΑΓΑΠΗΤΟΥ Σ. ΑΓΑΠΗΤΟΥ.

ΕΝ ΠΑΤΡΑΙΣ

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΕΚΔΟΤΟΥ Α. Σ. ΑΓΑΠΗΤΟΥ.

1866.

3770

# ΕΥΑΓΓΕΛΙΟΝ

## ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ.

[illegible] 27-30 [illegible]

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς: Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ ἐμοῦ, ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσεται ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

[illegible]

123770

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΛΕΞΙΟΥ

## ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΤΟΥ ΘΕΟΥ.

ΨΑΛΛΟΜΕΝΗ

Τῇ ΙΖ΄. Μαρτίου, ἐν ᾗ τελεῖται ἡ μνήμη αὐτοῦ.

---

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

Ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος Α΄. Πανεύφημοι Μάρτυρες.

Ἄνθρωπόν σε ἔγνωμεν Θεοῦ, κλήσει τε καὶ πράγματι· ταῖς ἀρεταῖς γὰρ διέλαμψας, πτωχείαν ἄμετρον, καὶ στενοχωρίαν ἐπὶ γῆς κτησάμενος, καὶ θαύμασι πιστοὺς πιστωσάμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἔρωτι δροσίζοντι, σαρκὸς ἔρωτας φλογίζοντας ἐναποσβέσας Ἀλέξιε, θαλάμου θάλαμον εὐσεβῶς ἤλλαξω, ἡδονῆς τε σώματος, τὴν θείαν τῶν Ἀγγέλων ὁμοίωσιν· μεθ' ὧν ἱκέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Μένεις ἀγνοούμενος σοφὲ, πρὸ πυλῶν θλιβόμενος τῶν ἱερῶν γεννητόρων σου, ἐμπαροινούντων σοι τῶν οἰκείων παίδων, ἐπὶ χρόνον μήκιστον· θανὼν δὲ, φανεροῦσαι τοῖς θαύμασιν, οἷς ἀπετέλεσας, θεραπεύων τὰ νοσήματα, καὶ διώκων ἀκάθαρτα πνεύματα.

Δευτεροῦμεν τὸ ά. Δόξα. Ἦχος Β΄.

Φιάλαι πεφύκασι τῶν ἀρωμάτων.

(Ζήτει ἐν τῇ Λιτῇ.) Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου.

Ἐν τῷ Στίχῳ.

Προσόμοια Στοιχηρά.

Ἦχος Β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἄνθρωπος τοῦ Θεοῦ σὺ μόνος ἐν Ὁσίοις, οὐρανοφοίτῳ κλήσει, λαμπρῶς ἀνηγορεύθης, Ἀλέξιε πανόλβιε.

www.tezaurliturgic.ro
Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Ἀέναον πηγὴν ἰάσεων παντοίων, τὴν πάντιμόν σου κάραν Ἀλέξιε τρισμάκαρ, Θεὸς πιστοῖς ἀνέδειξε.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Χριστὲ παμβασιλεῦ, εἰρήνην τῷ λαῷ σου, καὶ ἔλεος παράσχου, πρεσβείαις Ἀλεξίου, καὶ πάντων τῶν ἁγίων σου.

Δόξα, καὶ νῦν.

Χαῖρε ἡ τὴν χαρὰν τοῦ κόσμου δεξαμένη, Χριστὸν τὸν ζωοδότην, καὶ παύσασα τὴν λύπην, Παρθένε τῆς προμήτορος.

Καὶ νῦν ἀπολύεις. Τὸ τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Καὶ τὸ Ἀπολυτίκιον.

Ἐκ ῥίζης ἐβλάστησας περιφανοῦς καὶ πιστῆς. κτλ.

(Ζήτει ἐν τῷ μεγάλῳ Ἑσπερινῷ.)

Καὶ νῦν.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. κτλ. Συναπτή. Καὶ Ἀπόλυσις.

## ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸν Προοιμιακὸν ψαλμὸν, τὸ πρῶτον Ἀντίφωνον τοῦ πρώτου καθίσματος τοῦ ψαλτηρίου.

Εἶτα τὸ, Κύριε ἐκέκραξα, ἐν ᾧ ἱστῶμεν Στίχους ἓξ, καὶ ψάλλομεν τὰ ἐφεξῆς Προσόμοια.

Ἦχος Β'. Ὅτε ἐκ τοῦ ξύλου.

Κρήνη ἀνεδείχθης δαψιλὴς, νάματα προχέουσα πᾶσι πιστοῖς ἰάσεων, κάρα σου ἡ πάντιμος, Πάτερ Ἀλέξιε· καὶ ψυχὰς καὶ τὰ σώματα δροσίζει τρισμάκαρ, νόσους ἐκδιώκουσα, καὶ θλιβομένοις δεινῶς μέγα παραμύθιον οὖσα· ὅθεν μετὰ πόθου τιμῶντες, ταύτην εὐλαβῶς ἀσπαζόμεθα.

Μέγα τὸ κατόρθωμα τὸ σὸν, καὶ ἡ καρτερία σου, Πάτερ, ἀξιοθαύμαστος· ὥσπερ γάρ τις ἄσαρκος, τῶν ἐν τῷ βίῳ τερπνῶν κατεφρόνησας ἔνδοξε, καὶ ῥέοντος πλούτου, καὶ τὰς τῆς νεότητος ὁρμὰς ἐκοίμησας· ὅθεν ἀναδέδειξαι ζῶσα στήλη θαυμαστῆς ἐγκρατείας, καὶ τῶν μοναζόντων ἐγκαλλώπισμα.

Ἔζης ἀγνοούμενος σοφὲ, πρὸ πυλῶν πατρῴας οἰκίας, πλείστοις ἐν ἔτεσι, καὶ ὑπὸ τῶν δούλων σου ἐμπαροινούμενος· ἀλλ'

www.tezaurliturgic.ro


ὁ λύχνος διέλαμπεν ὑπὸ τῷ μοδίῳ, καί σου τὴν στεῤῥότητα Δαίμονες ἔφριττον. Ἄνω δὲ τῆς νίκης στεφάνους, ἐν τοῖς οὐρανοῖς, ἀμαράντους, Ἄγγελοι Θεοῦ σοι προητοίμαζον.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἀστραπαῖς τῶν θαυμάτων σου, τὴν ὑφήλιον ἅπασαν, ὅσιε Ἀλέξιε, κατεφώτισας, καταυγασθεὶς ταῖς τοῦ Πνεύματος ἀκτῖσι πονόλβιε. Ἐγκρατείᾳ γὰρ σαρκὸς, καὶ νηστείαις καὶ δάκρυσι, καὶ δεήσεσι, τοῦ ἐχθροῦ καταργήσας τὰς δυνάμεις, εὐηρέστησας Κυρίῳ· διὸ πιστῶς εὐφημοῦμέν σε.

Ἐκαρτέρησας ἔνδοξε, πρὸ πυλῶν γεννητόρων σου, τούτων ἐκκαιόμενος πικροῖς δάκρυσι· δούλοις δὲ σοῖς ἐμπαιζόμενος, ἔφερες πρᾳότατε, ἀφορῶν εἰς οὐρανοὺς, καὶ τὴν μένουσαν εὔκλειαν· ὅθεν Κύριος ἐπαξίως ἐδόξασέ σε Πάτερ, ἀναδείξας τὸ σὸν σκῆνος, πᾶσι παρέχον ἰάματα.

Παρθενίαν ἠγάπησας ὁλοψύχως Ἀλέξιε, ταύτην νυμφευσάμενος, ὥσπερ ἄσαρκος, ἀντὶ καλῆς τε νομίμου τε νύμφης, ἣν κατέλιπες, παραθέμενος Θεῷ, καὶ παςάδος ἀντήλλαξας, φθαρτῆς Ὅσιε, οὐρανίους θαλάμους, ἔνθα Πάτερ, συναγάλλῃ μετ' Ἀγγέλων, ὧν καὶ τὸν βίον ἐζήλωσας.

Δόξα. Ἦχος Δ'.

Τὸν νοερὸν ἀδάμαντα τῆς καρτερίας ἀδελφοὶ, Ἀλέξιον τὸν ἀοίδιμον ἀσκητὴν, ὁμοφρόνως πάντες τιμήσωμεν. Οὗτος γὰρ, διὰ τὸν ὄντως ὄντα Θεὸν, πάσης γεηρᾶς τερπνότητος καταφρονήσας, τὸν σταυρὸν τοῦ Σωτῆρος ἐπ' ὤμων προθύμως ἤρατο, ξένος γεγονὸς πατρίδος λαμπρᾶς, καὶ πατρικῆς περιφανείας, καὶ νυμφικῆς κοινωνίας, καὶ σὺν τῷ Παύλῳ φθεγγόμενος: Καθ' ἡμέραν ἀποθνήσκω, ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς ὁ Θεὸς, ὁ ἔχων τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ διὰ σὲ θεοπάτωρ.

Τὰ ἀναγνώσματα ζήτει εἰς Ὅσιον.

Ἐν τῇ Λιτῇ.

Στιχηρὰ Ἰδιόμελα. Ἦχος Α'.

Δεῦτε οἱ πιστοὶ ὕμνοις ἐγκωμίων ἀνευφημήσωμεν τὸν ἀληθινὸν τοῦ παντάνακτος ἄνθρωπον, Ἀλέξιον τὸν ἀλεξίκακον τοῖς πιστοῖς βοηθὸν, καὶ ἰατῆρα τῶν νοσημάτων. Ἐν γὰρ τῷ

www.tezaurliturgic.ro



θείῳ βαπτίσματι, κατάλληλον τοῖς μέλλουσιν ἔργοις λαβὼν τὴν προσηγορίαν, ἴαμα τοῖς εὐσεβέσιν ἀνεφάνη θεόσδοτον, ἰώμενος πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. τῶν πιστῶς προσερχομένων αὐτῷ, καὶ βοώντων: Κύριε δόξα σοι.

Ὁ αὐτός.

Ῥώμη μὲν ἡ πρεσβυτέρα ἐναβρύνεται πάτερ Ἀλέξιε, ὡς γεννέθλιόν σοι ἔδαφος, τὰ σπάργανά σου πλουτῆσαν τὰ πάντιμα. Σεμνύνεται δὲ καὶ Ἔδεσσα τοῖς ἀσκητικοῖς ἱδρῶσί σου καταρδευθεῖσα, καὶ γεωργηθεῖσα τῷ ἀρότρῳ τῶν ὁσίων πόνων σου. Κοσμεῖται δὲ μάλιστα, καλλωπιζομένη πνευματικῶς, καὶ ἡ Πελοποννησία Λαύρα τῶν μοναστῶν, ὄλβιον οὐράνιον καὶ ἀναφαίρετον, τὴν χαριτόβρυτον κάραν σου κεκτημένη, καὶ βοῶσα πρὸς Χριστὸν τὸν Θεόν: Πρεσβείαις, Κύριε, τοῦ σοῦ Ὁσίου σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος Β΄.

Φιάλαι πεφύκασι τῶν ἀρωμάτων αἱ σιαγόνες σου, Πάτερ Ἀλέξιε, εὐωδίαν τοῖς πιστοῖς ἐκπέμπουσαι πνευματικὴν, καὶ πᾶσαν μὲν Δαιμόνων ἀπελαύνουσα ἐπήρειαν, παρέχουσαι δὲ τοῖς ἐν πίστει προσερχομένοις ἰαμάτων χαρίσματα, καὶ τούτους ἐνισχύουσαι πρὸς τὸν ἀγῶνα τῆς σωτηρίας. Οὕτως οἶδε Κύριος δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας, καὶ βοῶντας ἀπαύστως: Κύριε δόξα σοι.

Ὁ αὐτός.

Σήμερον οὐράνιοι Ἄγγελοι σὺν πᾶσι τοῖς Ἁγίοις μετὰ τῆς Ἐκκλησίας εὐφραίνονται, τοὺς ἀσκητικούς ἀγῶνάς σου τιμώσης, καὶ τοῖς πιστοῖς προτιθεμένης καρτερίας ὑπόδειγμα. Σήμερον βασιλεῖς καὶ ἄρχοντες, σὺν ἀρχιερεῦσι καὶ ἱερεῦσι καὶ πᾶσι τοῖς πιστοῖς, ἐνθέως ἀγάλλονται, τὴν μνήμην σου τὴν ἁγίαν ἑορτάζοντες, καὶ τὸ πολύαθλόν σου σῶμα ταῖς μεγίσαις τιμαῖς περιέποντες. Καὶ Χριστὸν δοξάζοντες, χαρμοσύνως ἐκβοῶσι: Κατῴκισας Κύριε ἐν εἰρήνῃ καὶ ἐν δόξῃ τὸν δοῦλόν σου, ὃν ἠγάπησας, ῥυσθέντα τῇ θείᾳ δυνάμει σου, ἐκ τῆς παγίδος τῶν θηρευόντων. Σήμερον καὶ ἡ ἐν Πελοποννήσῳ Λαύρα, τὴν χαριτόβρυτόν σου κάραν Ἀλέξιε, τοῖς ἐγκωμίοις καταστέφουσα, φαιδρῶς πανηγυρίζει κραυγάζουσα: Πρεσβείαις Κύριε τοῦ σοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. Α΄.

www.tezaurliturgic.ro


Ὅσιε πάτερ θεόφρων Ἀλέξιε, τῷ δι' ἡμᾶς ἑκουσίως νεκρωθέντι Χριστῷ, ἀνεπιστρόφως ἠκολούθησας· καὶ πᾶσι χαίρειν [illegible]ων, τὴν σάρκα κακουχίαις ἐνέκρωσας· καὶ πτερωθεὶς τῷ πνεύματι, κατέπαυσας εἰς τὰς αὐλὰς τοῦ Κυρίου, ἐν αἷς τοῦ θείου φωτὸς ἐκτυπώτερον ἀπολαύων, μέμνησο τῶν τιμώντων σου τὴν μνήμην τὴν ἀεισέβαστον.

Ηχος πλ. Β'.

Ἐκ βρέφους τὸν Κύριον ἀπὸ καρδίας ἐζήτησας· καὶ εὑρὼν ὃν ἐπόθησας, συνανεκράθης αὐτῷ, ῥέοντα πλοῦτον ὑπερπηδῶν καὶ δόξαν χαμαίζηλον· καὶ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ κοσμοκράτορος ἀντιστὰς καὶ νικήσας, ἀκηράτων στεφάνων ἠξίωσαι, μετὰ τῶν Ἀγγέλων εἰς αἰῶνας ἀγαλλόμενος.

Δόξα. Ηχος πλ. Β'.

Ἐπέφανε σήμερον ἔαρ σωτήριον, καὶ ἑορτὴ χαρμόσυνος, Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ ἡ πανσέβαστος μνήμη, τῶν μὲν τῆς νηστείας ἀγώνων τὸ αὐστηρὸν καθηδύνουσα, τὸ δὲ ῥάθυμον τοῦ βίου πρὸς ἐργασίαν ἐγείρουσα, καὶ τοῖς ἀσκητικοῖς αὐτοῦ πόνοις, ὡς ἀερινοῖς ἄνθεσι, καὶ μύροις μυστικοῖς, τοὺς πιστοὺς εὐωδιάζουσα, καὶ πρὸς ἀρετὴν ὑπαλείφουσα. Ὡς δὲ τηλαυγὴς Ἥλιος, τὰς τῶν θαυμάτων ἀκτῖνας ἐκπέμπει, διαλύουσα πᾶσαν ψυχῶν τε καὶ σωμάτων σκοτόμαιναν. Αὐτῷ πιστοὶ βοήσωμεν· Ἅγιε Ἀλέξιε, μὴ διαλείπῃς ὑπὲρ ἡμῶν πρεσβεύων πρὸς Κύριον, ἐν εἰρήνῃ τὸν βίον ἡμᾶς ἐκτελέσαι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἄμπελος.

Ἐν τῷ Στίχῳ. Στιχηρὰ Προσόμοια.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρων Ἀλέξιε, διὰ τὴν ὄντως ζωὴν, τῆς ζωῆς κατεφρόνησας, ἀποῤῥίψας ἅπαντα, πλοῦτον, δόξαν, τρυφήματα, πατρίδα, νύμφην καὶ τοὺς γεννήτορας. Καὶ τὸν σταυρόν σου ὤμοις ἀράμενος, χαίρων προσέδραμες τῷ Χριστῷ μακάριε. Καὶ νῦν αὐτῷ παρεστὼς ἱκέτευε, τοῦ ἐλεῆσαι ἡμᾶς.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Ὅμιλος Ὁσίων, Ὅσιε, Ἱεραρχῶν ἡ πληθὺς, τῶν Μαρτύρων ὁμήγυρις, πάντων τῶν Ἁγίων σε οἱ χοροὶ ὑπεδέξαντο. Ἐν οὐρανοῖς σε Θεὸς ἐδόξασε, καὶ ἐπὶ πάσης γῆς ἐθαυμάστωσεν.

www.tezaurliturgic.ro


Ὄντως ἐκπλήξεως, καὶ θαυμάτων ἔμπλεως, ἡ σὴ ζωὴ, τρισμάκαρ Ἀλέξιε, Κυρίου ἄνθρωπε.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Ἡ ἀρετή σου παράδοξος, καὶ ἀρεστὴ τῷ Θεῷ, καὶ αὐτός σε ἐδόξασεν, ἐν τῇ ἐκδημίᾳ σου, προσφωνήσας σε ἄνωθεν ἡγιασμένον αὐτοῦ θεράποντα, ὃν εἰς ἀνάπαυσιν προσελάβετο. Ὅθεν συνέδραμον βασιλεῖς καὶ ἄρχοντες καὶ ἱερεῖς, πάντα πιστῶν τάγματα, ἀνευφημοῦντές σε.

Δόξα. Ἦχος πλ. Β'.

Ὅσιε πάτερ Ἀλέξιε, τῶν σῶν θαυμάτων αἱ ἀκτῖνες πᾶσαν τὴν ὑφήλιον διαδραμοῦσαι κατεφώτισαν· διὸ καὶ παρὰ πάντων μακαρίζῃ, χάριν προχέων ἀέναον, ἐκ τῶν ἁγίων καὶ μυριπνόων λειψάνων σου. Σὺ γὰρ τὰ τῶν πονηρῶν Δαιμόνων μηχανήματα κατέλυσας, τῶν συμπαροικούντων σοι ἀνθρώπων ὀρθοτομήσας τὰ κινήματα. Μὴ ἐμπαίζειν τοῖς ταπεινοῖς τῷ σχήματι, τοὺς σοὺς θεράποντας ἐξεπαίδευσας. Μὴ φρονεῖν χαμαίζηλα, τοὺς σοὺς γεννήτορας ἐδίδαξας. Μὴ ὑψηλοφρονεῖν τοῖς δυναστεύουσι καὶ ἡγεμόσι παρῄνεσας. Πᾶσιν ἀνθρώποις, διὰ τῆς σῆς ἐν Χριστῷ κεκρυμμένης ζωῆς, σωτήρια φάρμακα προσήνεγκας. Τοῖς ἁγίοις Ἀγγέλοις συνόμιλος γέγονας, ὧν καὶ τὸν βίον ἐζήλωσας. Παῤῥησίαν οὖν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Ὁ ποιητὴς καὶ λυτρωτής μου.

Ἀπολυτίκιον. Ἦχος Δ'. Πρός: Ταχὺ προκατάλαβε.

Ἐκ ῥίζης ἐβλάστησας περιφανοῦς καὶ πιστῆς, ἐκ πόλεως ἤνθησας βασιλικῆς καὶ λαμπρᾶς, Ἀλέξιε πάνσοφε· πάντων δ' ὑπερφρονήσας, ὡς φθαρτῶν καὶ ῥεόντων, ἔσπευσας συναφθῆναι τῷ Χριστῷ καὶ δεσπότῃ. Αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Καὶ Ἀπόλυσις.

## Ἐν τῷ Ὄρθρῳ.

Μετὰ τὴν Α'. Στιχολογίαν, Καθίσματα.

Τὴν ὡραιότητα.

Τὸν συμπαθέστατον Κυρίου ἄνθρωπον, τὸν τῆς ἀσκήσεως στεῤῥὸν ἀδάμαντα, τὸν στεφανίτην τὸν λαμπρὸν Ἀλέξιον εὐφημοῦμεν· οὗτος γὰρ διέλαμψεν ἐπὶ γῆς ὥς τις Ἄγγελος,

www.tezaurliturgic.ro


Πνεύματος γενόμενος καθαρὸν οἰκητήριον· διὸ καὶ τῶν θαυμάτων τὴν χάριν ἔλαβεν, ἰᾶσθαι τοὺς κάμνοντας.

Δόξα, τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Τὴν ὡραιότητα.

Μετὰ τὴν Β'. Στιχολογίαν, Καθίσματα.

Τὸν τάφον σου Σωτήρ.

Ὁ πάντων Βασιλεὺς, Ῥώμῃ τῇ βασιλίδι, σὴν κοίμησιν λαμπρῶς οὐρανόθεν μηνύει, καὶ πάντες συνέδραμον, τὸ σὸν σκῆνος, Ἀλέξιε, κατασπάσασθαι, νόσων ποικίλων ἰάσεις ἀρυόμενοι, ὡς ἐκ πηγῆς ἀεννάου· διὸ σὲ δοξάζομεν.

Δόξα, καὶ νῦν. Ὁδήγησον ἡμᾶς.

Μετὰ τὸν Πολυέλεον, Καθίσματα. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη βασιλεὺς, ἰδών σου χεῖρα τὴν νεκρὰν, χάρτην κρατοῦσαν ἰσχυρῶς, συνεπτυγμένον, εἱλητὸν, καὶ μηδενὶ τῶν παρόντων ἐπαφιεῖσαν· τότε προσελθὼν, ὥσπερ εὐγνώμων υἱὸς, πανευλαβῶς ᾐτήσατο καὶ ἔλαβε, καὶ ἀναγνοὺς ἐθαύμασεν ἀξίως, καὶ μετὰ δέους ἀνέκραξεν. Ἄνθρωπος ὄντως Θεοῦ ὑπάρχεις, πάνσεπτε πάτερ Ἀλέξιε.

Δόξα, καὶ νῦν. Κατεπλάγη Ἰωσήφ.

Τὸ πρῶτον ἀντίφωνον τοῦ Δ'. ἤχου: Ἐκ νεότητός μου. κτλ.

Εὐαγγέλιον ὁσιακὸν καὶ ὁ Ν'. εἶτα οἱ Κανόνες.

Κανὼν πρῶτος, φέρων ἀκροστιχίδα ταύτην:

«Ἄδω προθύμως ᾆσμα τῷ Ἀλεξίῳ. Κυρίλλου.»

Ὠδὴ Α'. Ἦχος Α'. Ἀνοίξω τὸ στόμα μου.

Ἀόρατε Κύριε, καὶ Βασιλεῦ πάσης κτίσεως, Θεὲ πολυέλεε, τῶν ἀγαθῶν χορηγὲ, ὁ δωρούμενος σοφίαν τοῖς ἀσόφοις, τὸν νοῦν μου καταύγασον, τῇ εὐσπλαγχνίᾳ σου.

Δειλίᾳ συνέχομαι, ὑμνεῖν τὸν ὄντως σου ἄνθρωπον, τὸν θεῖον Ἀλέξιον, Δέσποτα κύριε· ὅθεν δέομαι, καθάρας με παντοίων παθῶν, μοὶ χορήγησον λόγον ἐπάξιον.

Ὠδῖνες στειρώσεως εἰς φῶς σὲ Πάτερ ἐξήγαγον, ἀκτῖνες τοῦ Πνεύματος σὲ ἀνεγέννησαν, καὶ ἐξέλαμψας, ἀπὸ δυσμῶν ὡς ἄλλος ἀστὴρ παμφαέστατος, φωτίζων ἅπαντας.

Πατρόθεν ὑπέρτιμος, καὶ ἐκ μητρὸς ὑπερένδοξος, προῆλθες μακάριε, καὶ ἐκ πατρίδος κλεινῆς· σὺ δ' ἀπέβλεψας πρὸς δόξαν τὴν ἀγήρω, πάντα δὲ τὰ ῥέοντα παρεῖδες Ὅσιε.

www.tezaurliturgic.ro


Θεοτοκίον.

Ῥάβδος ἀνατείλασα τῆς Ἰεσσαὶ, ῥίζης ἄχραντε, ὡς ἄνθος ἀμάραντον, Χριστὸν ἐβλάστησας, τὸν ὑπέρχρονον Θεὸν ἐκ σοῦ τεχθέντα, καὶ σάρκα γενόμενον δι' ἀγαθότητα.

Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς:

«Σὲ τὸν Θεοῦ ἄνθρωπον αἰνέσω μάκαρ. Ἰωσήφ.»

Ὠδὴ Α'. Ἦχος Β'. Ἐν βυθῷ κατέστρωσε.

Στενωτάτην ὥδευσας ὁδὸν, ἄμεπτον καὶ ὅσιον βίον σοφὲ μετελθὼν ἐκ νεότητος· διό μου τὴν στένωσιν καταπλάτυνον τοῦ νοὸς, εὐφημῆσαι σε, τὸν πρὸς παραδείσου πλάτος αὐλιζόμενον μακάριε.

Ἑαυτὸν διόλου τῷ Θεῷ μάκαρ ἀναθέμενος, ἔξω σαρκὸς καὶ κόσμου ἐχρημάτισας, πλούτου διαῤῥέοντος, τὸν οὐράνιον προτιμήσας καὶ μένοντα, καὶ ἐνεγκαμένης, πόλιν τὴν Σιὼν τὴν αἰωνίζουσαν.

Τῆς νηδύος σὺ τῆς μητρικῆς στείρωσιν διέλυσας, ἀποτεχθεὶς ὡς Σαμουὴλ πανόλβιε· ἐν γαστρὶ καρδίας δὲ τὸν ἁγιώτατον συλλαβὼν φόβον, ἔτεκες, πνεῦμα σωτηρίας, θείων ἀρετῶν τε διὰ πίστεως.

Θεοτοκίον.

Ὁ Πατρὶ συνάναρχος Υἱὸς, ἔσχεν ὡς αἰτίαν σε τῆς πρὸς ἡμᾶς, Παρθένε, ὁμοιώσεως, μόνην ὑπὲρ ἅπασαν κτίσιν, ἄχραντε, καθαράν σε εὑράμενος· ὅθεν ὑμνοῦμέν σε πᾶσαι γενεαὶ, καὶ μακαρίζομεν.

Ὠδὴ Γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ὄνομα ἐκτήσω θεομάκαρ, ἀξίως τῶν πράξεων τῶν σῶν, ὡς ἀπαλλάττων ἅπαντας νόσων σαρκὸς καὶ πνεύματος, καὶ τοῦτό σοι τὸ χάρισμα Πνεῦμα τὸ θεῖον δεδώρηται.

Θάνατον ὑπέστης κατὰ Παῦλον, δουλώσας τὸ σῶμά σου τῷ νῷ· καὶ θνήσκων μὲν ἑκάστοτε, ἀεὶ δ' ἀνανεούμενος, οὐκέτι ζῶ γὰρ, ἔλεγες, ζῇ δ' ἐν ἐμοὶ Χριστὸς Κύριος.

Ὑπῆρξας ὡς ἄσαρκος τῇ φύσει, γονέων καὶ νύμφης ὀδυρμοῖς καὶ θρήνοις μὴ καμπτόμενος, παισὶ δ' ἐμπαροινούμενος, ἔτεσι πλείστοις Ἅγιε, καὶ πᾶσι τούτοις ἀγνοούμενος.

Θεοτοκίον.

www.tezaurliturgic.ro



Μόνη συνέλαβες ἀῤῥήτως τὸν κτίστην τῶν ὅλων ἐν σαρκὶ, καὶ μόνη τὸ ἀνθρώπινον, κατάρας τοῦ προπάτορος, ῥυσθῆναι ἐμεσίτευσας· ὅθεν, ἁγνὴ, σὲ δοξάζομεν.

Κανὼν δεύτερος. Ἐξήνθησεν ἡ ἔρημος.

Νυττόμενος τῷ ἔρωτι τῆς ἁγνείας, θάλαμον, τοῦ ἐπὶ γῆς, οὐράνιον ἀντηλλάξω, καὶ κοσμικῶν ἡδονῶν, τὴν ἡδίστην Ἀγγέλοις ἐξομοίωσιν.

Θορύβους τοὺς ἐν βίῳ τε, καὶ ὄγκον πλούτου ἔλιπες, καὶ μετανάστης γέγονας τῆς πατρίδος, πάτερ Ἀλέξιε, τοῦ Χριστοῦ τὴν πτωχείαν ἐκμιμούμενος.

Ἐν πόνοις τε καὶ δάκρυσι, καὶ ἐγκρατείᾳ, πάνσοφε, τὸ ἀγαθὸν ἐζήτησας, πότε ἥξει φῶς ἐπιγνώσεως, τὴν ἀπάθειαν φέρον τῇ καρδίᾳ σου. Θεοτοκίον.

Ὁ ἄνω ἀθεώρητος τοῖς Ἀγγέλοις ἄχραντε, κάτω ἐκ τοῦ γενόμενος, καθορᾶται τέλειος ἄνθρωπος, ἀπολλύμενον κόσμον ἀνακτώμενος. Κάθισμα. Τὴν σοφίαν καὶ λόγον.

Τοὺς ἱδρῶτας καὶ πόνους τοὺς σοὺς σοφὲ, νοερῶς θεωροῦντες πάντες πιστοὶ, πάσης κατανύξεως, τὰς ψυχὰς ἐμπιπλάμεθα, καὶ πρὸς θείους ὕμνους, καὶ δόξαν καὶ αἴνεσιν, τοῦ Δεσπότου τῶν ὅλων, παμμάκαρ Ἀλέξιε, πόθῳ ἐγκαρδίῳ, ἑαυτοὺς συγκινοῦμεν, ᾠδαῖς σὲ γεραίροντες, ὡς Κυρίου θεράποντα, καὶ πιστῶς ἐκβοῶμέν σοι: Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Τὴν σοφίαν καὶ λόγον.

Ὠδὴ Δ'. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ὥρμησας εἰς Ἔδεσσαν Πάτερ σοφὲ, φεύγων τὴν τῆς νύμφης συνάφειαν, καὶ παροικήσας ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, χρόνον πολὺν διήγαγες, ἄγνωστος πᾶσιν ἀξιάγαστε.

Σταδίῳ ἐνίκησας τὸν δυσμενῆ, πλοῦτον βδελυξάμενος ἄστατον, καὶ πενητεύσας, τοῦ δὲ μένοντος ἀεὶ θησαυροῦ ὀρεγόμενος, οὗ καὶ κληρονόμος γεγένησαι.

Ἄστεγος καὶ ἄοικος ὤφθης ἐν γῇ, ὡς τὰ θεῖα ποθήσας σκηνώματα, κόσμου δ' ἐμίσεις τὰ ἡδέα καὶ τερπνὰ, καὶ ἔζησας ὡς Ἄγγελος, Θεῷ συνὼν καὶ μετὰ σώματος.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν πίστει ἱκετεύω, καὶ δέομαι, εὐλογημένη· ἵλεόν μοι τὸν κριτὴν, τὸν σὸν Υἱὸν ἀπέργασαι, ὅπως ἐν αἰνέσει δοξάζω σε.

Κανὼν δεύτερος. Ἐλήλυθας ἐκ Παρθένου.

Ὑπέμεινας τὴν πτωχείαν, προσαίτης γενόμενος, πτωχὸς ὥσπερ Λάζαρος· ἔρως γὰρ θεῖος ἠρέθιζε, μάκαρ, τὴν καρδίαν σου, ἐπιποθοῦσαν τὸν πλοῦτον τὸν οὐράνιον.

Ἀπέριττον, καὶ ἀπράγμονα βίον ἐπόθησας, ἅπαξ σιτιζόμενος τῆς ἑβδομάδος Ἀλέξιε, πόθῳ τῆς μενούσης τε ἀδιαῤῥεύστου παμμάκαρ ἀγαπήσεως.

Ναὸν Θεοῦ τὴν καρδίαν ζητῶν ἀπεργάσασθαι, ἐν οἴκῳ ἠγάπησας τῆς Θεομήτορος, ἔνδοξε, πάντοτε καθέζεσθαι, καὶ τὰ οὐράνια κάλλη ἐνοπτρίζεσθαι.

Θεοτοκίον·

Θηλάσασα τὸν δοτῆρα, Παρθένε, τοῦ γάλακτος, πεινῶσαν καὶ στένουσαν νῦν τὴν καρδίαν μου κόρεσον, πάσης ἐπιγνώσεως, καὶ κατανύξεως θείας, ἱκετεύω σε.

Ὠδὴ Ε'. Ἐξέστη τὰ σύμπαντα.

Μαράνας τὴν σάρκα σου, νηστείαις καὶ δεήσεσιν, ἅπαξ ἑβδομάδος ἄρτου μόνου, Πάτερ, μετεῖχες, εὐχαριστῶν τῷ Θεῷ, ταμίευμα ἔχων ἐν ψυχῇ, ἄρτον τὸν οὐράνιον, συντηροῦντά σε πνεύματι.

Ἁπάντων προέκρινας τὴν ἄνω πόλιν κτήσασθαι, ὅθεν καὶ τιμὰς τὰς ἐν Ἐδέσσῃ φεύγων, ἀπῆρες, ἐλθεῖν εἰς Κίλικας, Παύλου προσεδρεύσων τῷ ναῷ, Κύριος δ' ἀνένευσεν, οἴκαδε σὲ ἀπήγαγε.

Τὸ ὄμμα πρὸς Κύριον ὑψώσας παναοίδιμε, πρὸ πυλῶν εἰσήχεις σῶν γονέων, δάκρυσι τούτων, καὶ σῆς τρυγόνος ἁγνῆς, κεντούμενος, βέλεσι πικροῖς, λήροις τε τῶν δούλων σου, ἀλλ' ἀνένδοτος ἔμεινας. Θεοτοκίον.

Ὦ μῆτερ θεόνυμφε, τὰ τραύματα θεράπευσον ψυχῆς μου, καὶ πάθη τῆς σαρκός μου, καὶ ῥαθυμίας σκότους ἀπέλασον, ὅπως εὐχαρίστως ἀνυμνῶ, πόθῳ καὶ γεραίρω σε, τῶν πιστῶν τὴν ἀντίληψιν.

www.tezaurliturgic.ro


Κανὼν δεύτερος. Μεσίτης Θεοῦ.

Ῥοαῖς ἱεραῖς καταρδεύων πάντοτε δακρύων σου ψυχὴν, ἐγεώργησας στάχυν ἀληθῶς ἑκατοστεύοντα, γεωργῷ ἀθανάτῳ, καλῶς διατηρούμενον.

Ὤράθης ἐν γῇ, πολιτείαν ἄσαρκον μιμούμενος, τῇ ὑπερβαλλούσῃ σου Πάτερ ἐγκρατείᾳ ἀξιάγαστε, καὶ εὐχῆς προσεδρείᾳ, δι' ἧς φῶς ἐχρημάτισας.

Πυρὶ προσευχῶν, ἁμαρτίας ἔφλεξας τὴν ὕλην σοφὲ, ἀγρύπνοις δεήσεσι πᾶσαν ἡδυπάθειαν ἐκοίμησας, κοιμηθεὶς δὲ, πρὸς φέγγος μετέβης τὸ ἀνέσπερον.

Θεοτοκίον.

Ὁ φῶς κατοικῶν, τὴν ἁγίαν ᾤκησε νηδύν σου ἁγνὴ, κόσμον ἀπολλύμενον σκότει ἀγνωσίας ἀνοκτώμενος. Ὃν ἱκέτευε, πάντας φωτίσαι τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Μὴ παύσῃ φέρων πρὸς Κύριον δεήσεις καὶ εὐχὰς, παναοίδιμε, ὑπὲρ τῶν δούλων σου, τῶν προσιόντων τῇ χάρᾳ σου, καὶ σεβομένων ταύτην ὡς θαυματόβρυτον.

Ἐχθροῦ καθεῖλες φρυάγματα, καὶ πάντα πειρασμῶν ὀχυρώματα, σταυροῦ τῇ χάριτι, ῥωσθεὶς ἐνθέως πανεύφημε, καὶ νῦν πιστῶν προστάτης Θεῷ παρίστασαι.

Βίον ἁπλοῦν καὶ ἡσύχιον ποθήσας, τῆς πατρίδος ἐξέφυγες, εἰς ξένην Ὅσιε, κἀκεῖ τιμαῖς ἐνοχλούμενος, ἐν πύλαις σῶν γονέων διῆγες ἄγνωστος.

Θεοτοκίον.

Ὑμνεῖν ἀεί σε ὀφείλομεν, ἀλλ' ὅμως πρὸς ἀξίαν οὐ σθένομεν, διὸ θαυμάζοντες πίστει τιμῶμεν τὸ ἄφραστον, φρικτῶς ἐν σοὶ, Παρθένε, πραχθὲν μυστήριον.

Κανὼν δεύτερος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ναὸν ζῶντα Θεοῦ ὡς γενόμενον, τοῦ Χριστοῦ τὸ σκήνωμα, ἡ Ἀπειρόγαμος προσφανεροῖ κρυπτόμενον, καὶ δοξάζει λανθάνειν σπουδάζοντα.

Αἱ εὐχαί σου Θεῷ ὡς θυμίαμα, μάκαρ, προσεδέχθησαν· ἔνθεν τῷ βίῳ σου, τὰ τῶν πιστῶν φρονήματα εὐωδίασας, Πνεύματι χάριτι.

www.tezaurliturgic.ro



Ἱερᾷ πολιτείᾳ κοσμούμενον, πάλιν ὁ Χριστὸς μὴ βουλόμενον ἔνδοξε, σὲ τῇ πατρίδι δίδωσιν, ἀποφεύγοντα δόξαν τὴν πρόσκαιρον.

Θεοτοκίον.

Νόμους φύσεως, ἄχραντε Δέσποινα, ὁ δημιουργὸς καινουργήσας τῆς κτίσεως, ἐκ σοῦ ἀῤῥήτως τίκτεται, καὶ θεοῖμε δι' ἄμετρον ἔλεος.

Κοντάκιον, πρὸς τό: Ἐπεφάνης σήμερον.

Ἀλεξίου σήμερον τοῦ πανολβίου ἑορτὴν τὴν πάνσεπτον ἐπιτελοῦντες εὐλαβῶς, αὐτὸν ὑμνήσωμεν λέγοντες: Χαίροις Ὁσίων τερπνὸν ἐγκαλλώπισμα.

Ὁ Οἶκος.

Τίς τὰς σεπτάς σου ἀρετὰς ἀξίως εὐφημήσει, καὶ ἱκανῶς αἰνέσει Ἀλέξιε θεόφρων; τὴν σωφροσύνην, τὴν ὑπομονήν, τὴν πραότητα, τὴν ἐγκράτειαν, τὸν ἀκατάπαυστον ὕμνον, τὴν ἄκραν σκληραγωγίαν, τὴν ἄμετρον ταπείνωσιν, δι' ὧν Ἀγγέλοις ἐφάμιλλος γενόμενος, πρεσβεύεις ἀεὶ ὑπὲρ τοῦ κόσμου παντός. Διὸ ἀκούεις, Ὅσιε, παρὰ πάντων πιστῶν: Χαίροις Ὁσίων τερπνὸν ἐγκαλλώπισμα.

Συναξάριον.

Τῇ ΙΖ΄. Μαρτίου μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

Στίχοι.

» Ἄνθρωπος ἐν γῇ τοῦ Θεοῦ κληθεὶς, μόνος,
» Ἕξεις τὶ καινὸν κἂν πόλῳ, Πάτερ, μόνος.
» Ἑβδομάτῃ δεκάτῃ, Ἀλέξιε, πότμον ἀνέτλης.

Ὠδὴ Ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἀνθρωπίνως σε τοῦ βίου, Πάτερ ὅσιε, δέον ἐξέρχεσθαι, χάρτην λαβὼν, ἐν αὐτῷ, ὅστις εἶ, ἐδήλωσας σαφῶς, εἰς δόξαν Θεοῦ, καὶ εὐφρόσυνος παρέδωκας τῷ πνεύματί σου τῷ Θεῷ εἰς τοὺς αἰῶνας.

Λόγος ἄνωθεν ἠχήσας, συνεκάλεσε Ῥώμης οἰκήτορας πάντας, ὁμοῦ συνελθεῖν, Θεόφρων Ἀλέξιε, πρὸς τὴν κηδείαν σου, ἀποδόσαντας σοί τε τιμὴν τὴν πρέπουσαν, καὶ τῷ πάντων κτίστῃ δόξαν.

Ἔνθους ἔφριξεν ἄναξ ὁ εὐσεβέστατος, τὰ κατὰ σὲ ἐπιγνούς.

www.tezaurliturgic.ro

ὅθεν πρὸς τὸ σκῆνός σου σπεύσας, τὸν εὔσχημον χάρτην ἔλαβε, καὶ ἀναγνοὺς ἀνέκραξεν: Ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ξένην δύναμιν, Παρθένε, σοὶ παρέσχετο, σάρκα ἐκ σοῦ προσλαβών, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ σωμάτων Κύριος· διὸ θεράπευσον τοὺς κραυγάζοντας: Εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Κανὼν δεύτερος. Ἀντίθεον πρόσταγμα.

Ἐπέμεινας ὅσιε, τῶν γεννητόρων, πυλῶσι καθήμενος, καὶ ὅλως ἀγνοούμενος, καὶ παίδων παροινίαν ὑποδεχόμενος, καὶ καταπαιζόμενος δεινῶς, καὶ ἐν πτωχείᾳ πολλῇ θλιβόμενος.

Σαρκός σου τὸ φρόνημα ἀπονεκρώσας, ὁρῶν τοὺς γεννήτορας, καὶ τούτοις ἀγνοούμενος, τῆς φύσεως ἔστεγες τὴν βίαν ὅσιε, καὶ τὴν παρόρασιν τῶν σῶν ἀπείρων παίδων, ἐπιθλιβόντων σε.

Ὢ θαῦμα! πῶς ἔμεινας ἀεὶ πτωχεύων, ἐν πλούτῳ, Ἀλέξιε, ἀπείρου ταπεινώσεως; πῶς ἤνεγκας παίζεσθαι καὶ ὀνειδίζεσθαι, ὑπὸ παίδων πάνσοφε τῶν σῶν, ἀγνοησάντων τὴν πολιτείαν σου;

Θεοτοκίον.

Μεγάλου διάκονος σὺ μυστηρίου ἐγένου πανάμωμε· Θεὸν γὰρ ἐσωμάτωσας, μεγάλων κακῶν ἡμᾶς ἀπολυτρούμενον, τοὺς σὲ μεγαλύνοντας ἁγνή, εὐλογημένη, θεοχαρίτωτε.

Ὠδὴ Η'. Παῖδες εὐαγεῖς.

Ἰδεῖν πᾶσα πόλις σὲ Ῥωμαίων ποθοῦσα, συντόνως κατηπείγετο· ἄναξ δὲ προσέταξεν ἐν τῷ ναῷ τεθῆναί σε, κἀκεῖ πάντας ἀρύεσθαι νόσων ἰάματα, καὶ χαίρειν διὰ σὲ, καὶ δοξάζειν τῶν Δεσπότην πάντων, εἰς πάντας τοὺς αἰῶνας.

Ὡράθης φαιδρότατος τὴν ὄψιν, ἐκλάμπων, φωτοειδής τις ὥσπερ Ἄγγελος· Δαίμονες ἠλαύνοντο, νόσοι ἐδιώκοντο, τυφλοὶ τὸ φῶς ἀνέβλεπον, καὶ ἀνορθοῦντο χωλοί, πᾶς κεκακωμένος ἰᾶθη, χαίρων, εὐλογῶν, δοξάζων Χριστὸν εἰς τοὺς αἰῶνας.

Κηδεῦσαι τὸ σκῆνός σου ἡ πόλις συνῆλθε μετ' εὐλαβείας, προσκομίζουσα ᾄσματα ἐξόδια· βασιλεῖς καὶ ἄρχοντες παρίσταντο γεραίροντες, καὶ μοναχῶν ἡ πληθύς· χοροί σε ἱερέων ἐκύκλουν καὶ ἀρχιερέων, ὑμνοῦντες τὸν Σωτῆρα.

Θεοτοκίον.

www.tezaurliturgic.ro

Ὑπὸ τῆς αὐτοῦ φιλανθρωπίας, καὶ μόνης ὑπεραπείρου ἀγαθότητος, ὁ Θεὸς καμπτόμενος, διὰ σοῦ ἐπέφανε τοῖς ἐπὶ γῆς Θεόνυμφε, σωματωθεὶς ἀληθῶς, καὶ πάλιν διὰ σοῦ οἰκειοῦται τοὺς ὁμολογοῦντας ἀεί σε Θεοτόκον.

Κανὼν δεύτερος. Κάμινος ποτέ.

Ἄγνωστος τὸ πρὶν γεννήτορσιν ὑπάρχων, ἐν τῷ καιρῷ τῆς ἐκδημίας σου, τούτοις τὸ μυστήριον ἐκκαλύπτεις φανερούμενος, εἰς δόξαν τοῦ Θεοῦ ἡμῶν, ἔνδοξε, τοῦ μεγάλως σὲ καὶ ἀξίως δοξάσαντος.

Κύριος φωνῇ μεγάλῃ φανεροῖ σε, πάσῃ τῇ Ῥώμῃ, τὸν κρυπτόμενον θησαυρὸν πανόλβιε, ἐν πτωχοῦ σχήματι κείμενον, καὶ δωρεαῖς ἰάσεων, ἅπαντας τοὺς ἐν πίστει σοὶ προσιόντας πλουτίζοντα.

Ἄρχοντες λαῶν καὶ βασιλεῖς συνῆλθον, καὶ ἱερεῖς μάκαρ κηδεῦσαί σε, Θεοῦ ἐπινεύσεσι, καὶ κατεῖδον μέγα θέαμα, θαμβούμενοι τοῖς θαύμασιν, Ὅσιε, οἷς ἐτέλεις, θείᾳ δυνάμει τοῦ Πνεύματος.

Θεοτοκίον.

Ῥεύσαντας ἡμᾶς τῇ πάλαι παραβάσει, ἀνακαινίζων ὁ φιλάνθρωπος, ἀῤῥεύστως σεσάρκωται ἐξ ἀφθάρτου σου πανάμωμε νηδύος, καὶ ἐῤῥύσατο ἅπαντας ἁμαρτίας καταφθορᾶς παναμώμητε.

Ὠδὴ Θ΄. Ἅπας γηγενής.

Ῥόδον εὐθαλὲς ἐκ Ῥώμης ἐβλάστησας, καὶ εὐωδιάσας πᾶσαν τὴν ὑφήλιον, θαυμάτων λάμψεσι κλεϊζόμενος, καὶ ἀρετῶν ἀκρότησι καλλωπιζόμενος· διὸ πᾶσα τῶν πιστῶν γεραίρει σε Ἐκκλησία, λαμπρῶς εὐφημοῦσά σε. Ἴδες ἅπερ ζῶν, ἐπόθεις οὐράνια, Πάτερ, σκηνώματα· ὡς γὰρ ἐξεδήμησας, ἐδέξαντό σε ἅγιοι Ἄγγελοι, σὺν Ἀποστόλοις Μάρτυρες, Ἱεραρχῶν τε χοροί, σὺν Προφήταις Ὅσιοι καὶ Δίκαιοι, καὶ Χριστὸς ὁ Θεὸς ἐστεφάνωσε.

Λάμψεσιν ἀεὶ τῆς ἁγίας κάρας σου, Λαύρα, νῆσος Πέλοπος, σὸν σκήνωμα, Πάτερ, καταυγάζεται, καὶ ἐμφαιδρύνεται βολαῖς ταῖς τῶν θαυμάτων σου, καὶ πᾶσα χώρα πιστῶν ἐκβοῶσα: Χαίροις παναοίδιμε, ὁσιότατε πάτερ Ἀλέξιε.

Ὄρεξον κἀμοὶ τὴν θείαν βοήθειαν, θερμαῖς πρεσβείαις σου· πρόφθασον, καὶ ῥῦσαί με νόσου βαρείας ψυχῆς καὶ σώματος·

www.tezaurliturgic.ro
καὶ δὸς τῷ σῷ θεράποντι, ποιεῖν ἑκάστοτε, τοῦ Κυρίου τὰ σεπτὰ θελήματα, θεοδόξαστε πάτερ Ἀλέξιε.

Θεοτοκίον.

Ὕψιστον Θεὸν, σωτῆρα κυήσασα τὸν πανοικτίρμονα, οἴκτειρον τὸν δοῦλόν σου, πρὸς μετανοίας τρίβους ὁδήγησον, τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον, τῶν αὐτοῦ με ἐνεδρῶν περίζωσε, καὶ πυρὸς αἰωνίου ἐξάρπασον.

Κανὼν δεύτερος. Ἀνάρχου Γεννήτορος.

Ἰδεῖν, κατηξίωσε Θεοῦ τὴν δόξαν ὅσιε, αὐτοῦ σε ἐν τέλει μάκαρ δοξάσαντος· φῶς γὰρ οἱ μὴ βλέποντες εἶδον, καὶ τῷ λαλεῖν ἐβόων, οἱ πρώην τυγχάνοντες ἄλλαλοι πανοίδιμε Ἀλέξιε·

Ὡράθης προκείμενος, καὶ πρὸς ταφὴν ἀγόμενος, ὥσπερ ἥλιος, Πάτερ πέμπων ἰάσεων τὰς μαρμαρυγὰς παραδόξως, καὶ σκοτεινὰ πάθη φυγαδεύων, καὶ φλέγων τοὺς δαίμονας, καὶ φωτίζων τοὺς θεόφρονας.

Συνῆλθε κηδεῦσαι σε πατριαρχῶν ὁ πρόκριτος, βασιλεὺς τε ὁ λίαν φιλοχριστότατος, ἄρχοντες πρεσβύται καὶ νέοι, καὶ μοναστῶν χοροὶ θείᾳ νεύσει, καθαγιαζόμενοι τῇ προσψαύσει σου μακάριε.

Ἡρπάγης ἐν ἅρματι τῶν ἀρετῶν ὀχούμενος, καὶ κατέπαυσας ἔνθα Ὁσίων τάγματα, καὶ τῶν Ἀποστόλων Μαρτύρων, Πατριαρχῶν, καὶ πάντων δικαίων, μεθ᾿ ὧν ἡμῶν μέμνησο, τῶν τιμώντων σε Ἀλέξιε.

Θεοτοκίον.

Φωνήν σοι προσάγομεν τοῦ Γαβριὴλ γηθόμενοι, Χαῖρε λέγοντες, χώρα ἡ ἀγεώργητος· χαῖρε τῆς κατάρας ἡ λύσις· χαῖρε πηγὴ ὕδατος τοῦ ζῶντος, Ὁσίων τὸ καύχημα, Θεοτόκε ἀειπάρθενε.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὢ θαῦμα! πῶς ἐν πυλῶσι σῶν γεννητόρων χρονίως, ὥς τις ἀδάμας, ὑπέστης, φύσεως βίᾳ μὴ καμφθείς, γονέων τε καὶ συζύγου, Ἀλέξιε, πικροὺς θρήνους;

Θεοτοκίον.

Χρυσοπλοκώτατε πύργε.

www.tezaurliturgic.ro

Ἐν τοῖς Αἴνοις.

Ψάλλομεν τὰ ἐφεξῆς Προσόμοια Στιχηρά.
Ἦχος Α'. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε συμφώνως ἐν ὕμνοις πιστοὶ τιμήσωμεν, τὸ μέγα τῶν Πατέρων, καὶ Ὁσίων τὸ κλέος, Ἀλέξιον τὸν ὄντως ἄνθρωπον τοῦ Θεοῦ, ὃν ἀκηράτοις χαρίσμασιν, ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, ἐθαυμάστωσεν ὁ Κύριος.

Οἱ ἀσθενείαις βαρείαις ἐξεταζόμενοι, προσέλθετε προθύμως, Ἀλεξίῳ τῷ πάνυ· οὗτος γὰρ ἰᾶται πάντων τῶν πιστῶν πάθη τὰ χαλεπώτατα, ῥῶσιν παρέχων βεβαίαν τοῖς πρὸς αὐτὸν προσιοῦσιν ἀδιστάκτῳ ψυχῇ.

Ὡς παῤῥησίαν μεγίστην, τῶν πόνων ἔπαθλον, ἔχων πρὸς τὸν Δεσπότην, ἱκετεύων μὴ παύσῃ, ῥυσθῆναι τῶν σκανδάλων τοῦ πονηροῦ, κοσμικῶν τε κακώσεων, τοὺς σοὺς ἱκέτας, ὦ ἄνθρωπε τοῦ Θεοῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῆς εὐσεβείας οἱ παῖδες πόθῳ συντρέχουσιν, Ἀλέξιε τρισμάκαρ, τὴν ἁγίαν σου μνήμην πιστῶς πανηγυρίσαι, ὑμνοῦντες Θεόν, ἐν ᾠδαῖς τε καὶ ᾄσμασι, τὸν θαυμαστὸν ἐν ἁγίοις, ὃς ἐκπληροῖ τὰς εὐχὰς τῶν φοβουμένων αὐτόν.

Σήμερον τέρπεται πᾶσα ἡ Πελοπόννησσος, καὶ πόλις Καλαβρύτων, σὺν τῇ ἁγίᾳ Λαύρᾳ, πλουτούσῃ τὴν σὴν χάραν, εἰς δόξαν Χριστοῦ τοῦ σὲ Πάτερ δοξάζοντος, καὶ δι' αὐτῆς ἐνεργοῦντος πᾶσι πιστοῖς τῶν θαυμάτων τὰ παράδοξα.

Δόξα. Ἦχος πλ. Α'.

Ἀδαμάντινε τὴν ψυχήν, πῶς σε κατ' ἀξίαν ἐπαινέσωμεν; Σὺ γὰρ μέτρα φύσεως ὑπερέβης, ὑποστὰς ὡς ἄσαρκος πάντα κόπον, πόνον, καὶ ἀνθρωπίνης καρδίας. Φίλτρων ἐκαρτέρεις ὀδύνας, φιλοστοργίας σπαραγμούς, συγγενείας πόθον, οἰκετῶν παροινίας, ἀσκήσεως ἀγῶνας, σκληραγωγίας βασάνους. Ξένος ἔζης ἐν τῇ πατρίδι, ἄγνωστος ἐν τοῖς οἰκείοις, ἀσώματος ἐν σαρκί. Ἐν πίστει μέγας, ἐν ταπεινώσει θαυμαστός, ἐν πειρασμοῖς ἀκράδαντος, ἐν πᾶσιν ἄθλοις νικηφόρος. Ἅγιε Ἀλέξιε πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Μακαρίζομέν σε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

www.tezaurliturgic.ro

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΛΕΞΙΟΥ

## ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΤΟΥ ΘΕΟΥ.

Ἰδοὺ πάρεστιν ὁ καιρὸς τῆς ἐγκρατείας ἀγαπητοί· τὸ στάδιον ἠνέῳκται· ὁ ἀγωνοθέτης καὶ βασιλεὺς Χριστὸς ἄνωθεν ἵσταται βλέπων τὴν προθυμίαν τῶν ἀθλητῶν· οἱ ἅγιοι Ἄγγελοι κρατοῦσι τὰ στέφη τῆς θείας χάριτος ὡς βραβεῖα πολύτιμα, ἵνα στεφανώσωσι πάντας, ὅσοι νομίμως ἀθλήσωσι, καὶ νικήσωσιν ἀνδρείως τὸν ἀποστάτην καὶ ὑπερήφανον Δαίμονα. Διότι πᾶς ὅστις γενναίως ἀγωνισθῇ κατὰ τῆς ἁμαρτίας, οὐχὶ πρόσκαιρον ἀπολαμβάνει τιμὴν καὶ στέφανον εὐμάραντον, ἀλλὰ δόξαν αἰώνιον, καὶ ἀμοιβὴν ἀτελεύτητον. Οἱ μὲν γὰρ βασιλεῖς τῆς γῆς ὅταν γυμνάζωσι τοὺς στρατιώτας, ἀπονέμουσιν ἕνα καὶ μόνον χάρισμα φθαρτὸν καὶ ἐπίκηρον, καὶ μόλις ὀλίγων χρυσῶν νομισμάτων ἄξιον, καὶ τοῦτο πάλιν εἷς καὶ μόνος λαμβάνει, ὅστις ἀριστεύσῃ καὶ φανῇ πάντων τῶν ἄλλων στρατιωτῶν ἰσχυρότερος. Ἀλλ' ὁ ἐπουράνιος Βασιλεὺς ἀτελεύτητον ἡμῖν χαρίζει μακαριότητα, καὶ ταύτην κληρονομοῦσιν ὅσοι πολεμήσωσι γενναίως. Αὐτὸς ἡμᾶς προσκαλεῖ καὶ σήμερον ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου λέγων: «Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.» Ὅστις θέλει, φησίν· οὐδένα βιάζει· δῶρον γὰρ ἡμῖν ἔδωκε τὸ αὐτεξούσιον· προσκαλεῖ δὲ πάντας ὡς εὔσπλαγχνος, καὶ διψᾷ τὴν σωτηρίαν ἡμῶν, διὰ τοῦτο καὶ νουθετεῖ καὶ διδάσκει πόσον κέρδος ἔχει ὅστις ἀπαρνηθῇ τὴν σάρκα καὶ τὰς ἐπιθυμίας αὐτῆς, ὑπομένων τὰς θλίψεις καὶ τοὺς πόνους τῆς ἐγκρατείας, καὶ μιμούμενος τὸ πάθος τοῦ Κυρίου. Διότι λέγει πάλιν: «Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν κερδίσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; » Ὅλος ὁ κόσμος οὐκ ἔστιν ἀντάξιος τῆς ψυχῆς. Κἂν λοιπὸν κερδίσῃ τις ὅλον τὸν κόσμον, (ὅπερ ὑπάρχει σχεδὸν ἀδύνατον)· κἂν ὑποταχθῶσιν εἰς αὐτὸν ὅλαι αἱ ἡγεμονίαι καὶ τὰ βασίλεια τῆς οἰκουμένης, ἔπειτα κολασθῇ ἡ ψυχὴ αὐτοῦ, οὐδὲν ὠφέλησεν, ἀλλ' ἀπώλεσε τὸ πᾶν. Ἐπειδὴ λοιπὸν ἀσυγκρίτως περισσότερον ὄφελος ἀπολαμβάνει ὁ μικρότερος δοῦλος τοῦ Χρισοῦ, παρὰ τὸν κραταιότατον καὶ πλουσιώτατον βασιλέα τῆς γῆς, ἔπρεπεν ἵνα φροντίζωμεν μὴ περὶ προσκαίρων σωματικῶν ἀπολαύσεων, ἀλλὰ περὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, ἀκολουθοῦντες πιστῶς τῷ Δεσπότῃ Χριστῷ· ὅστις διὰ τὸν ὀλίγον ἡμῶν κόπον ἀποδίδωσιν εἰς ἡμᾶς αἰωνίως ἀπόλαυσιν ἀγαθῶν. Ἀλλ' οἱ ὀκνηροὶ καὶ ῥᾴθυμοι ἀμελοῦσιν ὡς φιλόσαρκοι, λέγοντες, ὅτι παρῆλθεν ἤδη τῶν ἀγώνων ὁ καιρός, καὶ ἡ φύσις ἠσθένησεν, οὐδὲ δυνάμεθα πλέον φυλάξαι τὴν ἐγκράτειαν καθὼς οἱ παλαιοί. Ἀλλ' ἡ τοιαύτη πρόφασίς ἐστι δαιμονική. Πάντα καιρὸν δυνάμεθα τὸν ἀγῶνα τῆς ἀρετῆς ἀγωνίζεσθαι, ἐὰν θέλωμεν. Ἔχομεν τοσούτων ἁγίων ὑποδείγματα καὶ παλαιῶν καὶ νεωτέρων, ἅτινα καθίστανται εἰς ἡμᾶς ἔλεγχος πρὸς πολλὴν ἡμῶν αἰσχύνην καὶ καταφρόνησιν. Βλέπομεν γὰρ νέους εὐγενεῖς καὶ βασιλέων υἱοὺς καὶ

www.tezaurliturgic.ro
ἀπογόνους, οἵτινες οὐ μόνον δόξαν καὶ πλοῦτον καὶ πᾶσαν σαρκικὴν ἡδυπάθειαν κατεφρόνησαν, ἀλλὰ καὶ τοὺς φιλτάτους γονεῖς αὐτῶν κατέλιπον, καὶ αὐτὴν (τὸ θαυμασιώτερον) τὴν ἠγαπημένην αὐτῶν σύζυγον, διὰ τὴν ἀγάπην τοῦ ποιητοῦ καὶ σωτῆρος ἡμῶν. Τοῦτο δὲ τὸ ἐθελούσιον διαζύγιον ὑπέμειναν καὶ ἄλλοι δοῦλοι τοῦ οὐρανίου Βασιλέως Χριστοῦ, στερηθέντες πασῶν τῶν σαρκικῶν ἀπολαύσεων, καὶ τὸν ἔνθεον ἔρωτα προτιμήσαντες, ἀλλὰ πλέον τῶν ἄλλων κατόρθωσεν ὁ πτωχὸς τῷ σώματι, τῇ δὲ ψυχῇ πλουσιώτατος Ἀλέξιος, ὁ τοῦ Θεοῦ ὄντως ἄνθρωπος, καὶ δοῦλος αὐτοῦ γνησιώτατος, ὅστις διέτριψε τοσούτους χρόνους ἐν τῇ οἰκίᾳ αὐτοῦ, ὑπὸ μὲν τῶν συγγενῶν ἀγνοούμενος, ὑπὸ δὲ τῶν ὑπηρετῶν αὐτοῦ ἐμπαιζόμενος. Ἀλλὰ πάντα ταῦτα ὑπέμεινεν ὁ γενναῖος ἀγωνιςὴς ἀναλογιζόμενος τὴν πλουσίαν ἀμοιβὴν καὶ τὸν πολύτιμον στέφανον, ὃν ἔμελλεν αὐτῷ ἀνταποδώσειν ὁ Βασιλεὺς τῆς δόξης εἰς τὸν Παράδεισον· διὸ καὶ ἀπηρνήθη τελείως τὸν ἔξω ἄνθρωπον καὶ ἀράμενος τὸν σωτήριον σταυρὸν τῶν θλίψεων, ἠκολούθησε τῷ Δεσπότῃ ἀγαλλιώμενος. Καὶ νῦν ἐν οὐρανοῖς, χάριν τῆς ἐπὶ γῆς προσκαίρου κακοπαθείας καὶ θλίψεως, ἀπολαύει αἰώνιον εὐφροσύνην καὶ ἄῤῥητον ἀγαλλίασιν καὶ τιμὴν καὶ δόξαν καὶ βασιλείαν ἀδιάδοχον· δικαίως καὶ πρεπόντως· διότι ὅςις νικήσῃ τὴν σαρκικὴν φιλαυτίαν καὶ ὅλον αὐτῆς τὸν στρατὸν, ἤγουν ὅλα τὰ πάθη τοῦ σώματος καθυποτάξας αὐτὰ τῷ πνεύματι, κατὰ τὴν εὐαγγελικὴν ἐντολὴν, οὗτός ἐστιν ἄξιος ἐπαίνων καὶ ἐγκωμίων, πολὺ πλέον παρὰ τὸν βασιλέα Ἀλέξανδρον, καὶ τοὺς Καίσαρας, καὶ τοὺς λοιποὺς μονάρχας, ὅσοι τὸν κόσμον ἐξουσίασαν. Διότι οἱ ἐνάρετοι δοῦλοι τοῦ Θεοῦ νικῶσι τὰ ψυχοκτόνα πάθη τῆς σαρκὸς, καὶ καταβάλλουσι τοὺς Δαίμονας· ὅθεν καὶ δικαίως παρὰ Θεοῦ ἀντιδοξάζονται, ἀπολαμβάνοντες παρ' αὐτοῦ βασιλείαν ἀδιάδοχον καὶ ἀεὶ διαμένουσαν. Τούτου τοῦ θαυμαστοῦ Ἀλεξίου τὸν βίον, ἀγαπητοὶ ἀδελφοὶ, βούλομαι σήμερον διηγήσεσθαι, καὶ προσέχετε ἀκριβῶς, ἵνα λάβητε πολλὴν τὴν ὠφέλειαν, διότι ἄλλος ἁγίου βίος οὐκ ἔστι παρὰ τοῦτον κατανυκτικώτερος ἅμα καὶ ὡραιότερος.

Κατὰ τοὺς χρόνους τῶν εὐσεβεστάτων βασιλέων Ἀρκαδίου καὶ Ὀνωρίου, ὑπῆρχεν εἰς τὴν Ῥώμην ἄρχων τις ὀνόματι Εὐφημιανός· ἄνθρωπος πλούσιος μὲν τὰ σωματικὰ ἀγαθὰ, πλουσιώτερος δὲ τὰ ψυχικὰ, καὶ πλεῖστα ἐνάρετος καὶ θαυμάσιος, ἐργάτης ἐπιμελὴς καὶ ἄοκνος τοῦ μυστικοῦ ἀμπελῶνος τοῦ σωτῆρος Χριστοῦ, οὗ τινος πάσας τὰς ἐντολὰς ἐσπούδαζε φυλάττειν ἀπαρασάλευτα, ἐξαιρέτως δὲ κατὰ τὴν ἐλεημοσύνην ὑπῆρχεν ἀμίμητος, διανέμων καθ' ἑκάστην ἀφθόνως εἰς τοὺς ἐνδεεῖς τοῦ πλούτου τὰς χάριτας· ἔτρεφε πεινῶντας, ἐνέδυε γυμνοὺς, ὑπεδέχετο ξένους, καὶ τούτους ἐφιλοξένει καὶ εὐηργέτει πλουσιοπάροχα, καὶ ἁπλῶς εἰπεῖν, ὁ εὐλογημένος αὐτοῦ οἶκος ὑπῆρχε λιμὴν τῶν πενήτων καὶ καταφύγιον. Εἶχε δὲ καὶ ὑπηρέτας πολλοὺς χρυσοζώνους καὶ φοροῦντας ἱμάτια λαμπρὰ καὶ πολύτιμα· αὐτὸς δὲ ὁ ἀείμνηστος ἔτρωγε πάντοτε μετὰ τὴν ἐννάτην ὥραν ἅπαξ τῆς ἡμέρας, καὶ πρῶτον μὲν συνήθροιζεν ἀνθρώπους πτωχοὺς, ὅσους εὕρισκεν εἰς τὴν ἀγορὰν, καὶ παρατιθεὶς αὐτοῖς τράπεζαν, ὑπηρέτει χερσὶν ἰδίαις αὐτὸς, ὅπως ἔχει μισθὸν περισσότερον. Τῶν δὲ συγγενῶν αὐτοῦ καὶ φίλων τινὲς δι' ἀνοησίαν ἔψεγον αὐτὸν πολλάκις, λέγοντες, ὅτι πράττει πρᾶγμα ἀπρεπὲς ὑπηρετῶν πένητας ἀνθρώ-

www.tezaurliturgic.ro

πους τοιοῦτος ἄρχων περιφανέστατος· ἀλλὰ τοῦτο τοῖς ὑπηρέτας ἀνήκει, κἀκεῖνοι ποιήτωσαν τὰ δέοντα. Ὁ δὲ πρὸς αὐτοὺς μετὰ ταπεινώσεως ἀπεκρίνατο λέγων· «Οὗτοι εἰσὶν ἀδελφοὶ τοῦ Κυρίου μου, ὅςις προσέταξεν εἰς τὸ ἱερὸν Εὐαγγέλιον, ἵνα τούτους ἀγαπῶμεν, καὶ ὅσην εὐεργεσίαν ποιήσωμεν εἰς αὐτοὺς, αὐτὸς ἡμῶν ἀνταμείβει τὴν χάριν πλουσιοπάροχον.» Ὑπῆρχε δὲ καὶ ἡ σύζυγος αὐτοῦ, Ἀγλαΐς ὀνόματι, γυνὴ εὐλαβὴς καὶ ἀγαθὴ, καὶ ἦσαν καὶ οἱ δύω πορευόμενοι ἄμεμπτοι τὴν ὁδὸν τοῦ Κυρίου, πλὴν εἶχον λύπην, διότι ἦσαν ἄτεκνοι, μὴ γεννήσαντες παιδίον διάδοχον τοῦ γένους καὶ τῆς περιουσίας αὐτῶν. Ὅθεν ἐδέοντο τοῦ Δεσπότου Χριστοῦ μετὰ πίστεως, ἵνα δώσῃ τέκνον αὐτοῖς κατὰ τὴν εὐχὴν αὐτῶν. Ὁ δὲ Κύριος ἐπήκουσεν αὐτῶν τῆς δεήσεως· καὶ συλλαβοῦσα ἡ Ἀγλαΐς, ἐγέννησεν υἱὸν καὶ ὠνόμασαν αὐτὸν Ἀλέξιον. Ἐγένετο λοιπὸν πολλὴ χαρὰ εἰς τὴν οἰκίαν ἐκείνην καὶ ἄμετρος ἀγαλλίασις. Ἀφοῦ δὲ τὸ παιδίον ἀἀπεγαλάκτισαν, παρέδωκαν αὐτῷ διδασκάλους εἰς σπουδὴν τῶν γραμμάτων, καὶ ἐδιδάσκετο μέχρις ἦλθεν εἰς ἡλικίαν νόμιμον. Καὶ ἐπειδὴ εἶχεν ὀξύνοιαν καὶ εὐφυΐαν, ἔμαθεν εἰς ὀλίγον καιρὸν πᾶσαν παιδείαν ἐκκλησιαστικήν τε καὶ κοσμικὴν, καὶ ἀπέβη σοφώτατος. Ὅθεν γνωρίσας τὸ μάταιον τοῦ κόσμου καὶ ἄστατον, καὶ τῆς ψυχῆς τὴν ἀθανασίαν, ἐβουλεύσατο βουλὴν ἀγαθὴν, ἵνα ἀπαρνηθῇ τὰ πρόσκαιρα καὶ εὐμάραντα ἀγαθὰ τῆς παρούσης ζωῆς, ὅπως κληρονομήσῃ τὰ ἄφθαρτα καὶ αἰώνια. Ταῦτα μελετῶν καθ᾽ ἑκάστην, ὁ ἐκ Θεοῦ πεφωτισμένος καὶ πάνσοφος Ἀλέξιος, ἐνεδύθη ῥάσον τρίχινον κρύφα τῶν γονέων του· καὶ τοῦτο μὲν ἐφόρει κατάσαρκον, ἔξωθεν δὲ περιεβάλλετο μεταξωτὰ καὶ χρυσοῦφαντα, ὅπως μηδεὶς περὶ αὐτοῦ ὑποψίαν τινὰ λάβῃ. Οἱ δὲ γονεῖς ἀγνοοῦντες τὴν ἔνθεον αὐτοῦ γνώμην, ἐσπούδαζον αὐτὸν εἰς γάμον συνάψαι, λίαν ποθοῦντες ἰδεῖν ἀπογόνους. Ἐρευνήσαντες οὖν εἰς τὴν Ῥώμην, εὕρηκαν κόρην ὡραίαν καὶ πάγκαλον ὁμοίαν αὐτῷ καὶ πλουσίαν καὶ εὐγενῆ ἐκ γένους βασιλικοῦ. Ὁ δὲ Ἀλέξιος εἶχε τὴν καρδίαν ἀνυψωμένην εἰς τὰ οὐράνια καὶ οὐδέποτε περὶ ἐπιγείων ἐφρόνει, ἀλλὰ καθ᾽ ἑκάστην προσηύχετο μυστικῶς πρὸς τὸν κρυφιογνώστην Θεὸν, καὶ δάκρυα ποταμηδὸν ἔῤῥεε δεόμενος, ὅπως αὐτὸν διασώσῃ τῶν παγίδων του κοσμοκράτορος Διαβόλου, καὶ φωτίσῃ πρὸς τὸ συμφέρον. Καὶ τοιαῦτα μὲν ἔλεγε προσευχόμενος σχεδὸν δι᾽ ὅλης τῆς νυκτὸς, τὴν ἡμέραν δὲ πάλιν ἔτρεχεν εἰς τὰς ἐκκλησίας χάριν προσκυνήσεως, καὶ τοῖς πτωχοῖς ἐμοίραζεν ἐλέη καὶ φανερὰ καὶ ἀπόκρυφα· ἵνα καὶ αὐτοὶ παρακαλῶσιν ὑπὲρ αὐτοῦ τὸν Κύριον, ὅπως τύχῃ σωτηρίας. Πρὸς δὲ τοὺς γονεῖς ἔλεγεν, ὅτι τὸν γάμον οὐ στέργει, διότι ἔχει φροντίδας καὶ μερίμνας πολλάς. Ἀλλ᾽ αὐτοὶ ἐπαραβίασαν αὐτὸν πρὸς ὑπακοὴν, λέγοντες, ὅτι ἡ νύμφη ὑπῆρχεν ἤδη ἐκλελεγμένη, καὶ τοιαύτην ἄλλην ὁμοίαν ὕστερον οὐχ εὑρήσουσιν. Ὅθεν μὴ δυνάμενος ἐναντιωθῆναι πρὸς τοὺς γονεῖς, ἔστερξε μὲν κατὰ τὸ φαινόμενον, καὶ ἐγράφη τὸ συνοικέσιον, ἔσωθεν ὅμως ἐμελέτα κατὰ διάνοιαν, ἵνα φύγῃ δραπετεύτας εἰς τόπον ξένον, ὅπως φυλάξῃ τὴν παρθενίαν ἄφθορον. Ὡς οὖν ἦλθεν ἡ ἡμέρα τῆς νυμφεύσεως, ἀπῆλθον εἰς τὸν ναὸν τοῦ ἁγίου Βονιφατίου καὶ ἐστεφάνωσαν τὸ ἀνδρόγυνον. Ἔπειτα μετὰ χορῶν καὶ τυμπάνων καὶ ἄλλων μουσικῶν ὀργάνων, διῆγον ὅλην τὴν ἡμέραν εἰς τὴν οἰκίαν τοῦ γαμβροῦ χαίροντες οἵ τε ἄρχοντες τοῦ παλατίου καὶ οἱ συγγενεῖς καὶ

www.tezaurliturgic.ro

φίλοι τῶν νεογάμων κατὰ τὸ σύνηθες. Τὸ ἑσπέρας δὲ μετὰ τὸ δεῖπνον ἀνεχώρησαν ἐπευχηθέντες τοῖς νεονύμφοις· καὶ τούτους οἱ γονεῖς ἕως εἰς τὸν νυμφικὸν θάλαμον συνοδεύσαντες ἀπεχαιρέτησαν. Ὁ δὲ νέος ἀφοῦ ἔμεινε μετὰ τῆς νύμφης. προσηύχετο ὥραν πολλήν, ἕως ἐκοιμήθησαν ἅπαντες οἱ ἐν τῷ οἴκῳ, καὶ τότε τειλίξας τὸ δακτυλίδιον εἰς τὴν ζώνην αὐτοῦ, (ἦσαν δὲ καὶ τὰ δύο πολύτιμα πράγματα) παρέδωκε τῇ κόρῃ λέγων: Λάβε ταῦτα φιλτάτη, καὶ φύλαξον, καὶ ὁ Θεὸς ἔστω ἐν τῷ μέσῳ ἡμῶν ἕως ἂν οἰκονομήσῃ ἡ χάρις αὐτοῦ περὶ ἡμᾶς ἄλλο τι νεώτερον. Ταῦτα εἰπὼν ἀπῆλθεν εἰς τὸ δωμάτιον αὐτοῦ καὶ ἔλαβε χρυσίον καὶ λίθους τιμίους, καὶ μαργαρίτας, ὅσα ἠδύνατο, καὶ ἐκδυθεὶς τὰ χρυσοῦφαντα φορέματα, ἐφόρεσε πτωχὰ καὶ κατεσχισμένα, καὶ ἐξελθὼν τῆς πόλεως κατέβη εἰς τὴν θάλασσαν. Ἐκεῖ δὲ Θεοῦ εὐδοκοῦντος, εὑρίσκει πλοῖον ἀναχωροῦν αὐτῇ τῇ ὥρᾳ εἰς Συρίαν καὶ ἐξέπλευσεν. Ὡς δὲ ἔφθασαν εἰς τὴν Λαοδίκειαν, ἐξῆλθε τοῦ πλοίου, καὶ διὰ ξηρᾶς ἐπορεύθη εἰς τὴν Ἔδεσσαν. Ἐκεῖ εὗρε τὸν περίφημον ναόν, ὅπου ὑπῆρχεν ἡ ἀχειροποίητος εἰκὼν τοῦ δεσπότου Χριστοῦ, ἣν αὐτὸς ἔστειλε τῷ Αὐγάρῳ διὰ τοῦ Ἀνανίου, (ὡς φαίνεται ἐν τῷ Συναξαριστῇ τῆς 16 Αὐγούστου) Ταύτην ἰδὼν ὁ Ἀλέξιος ἔλαβε πολλὴν ἀγαλλίασιν, καὶ διαμοιράσας εἰς τοὺς πτωχοὺς τὸ χρυσίον καὶ τοὺς πολυτίμους λίθους, ἔμεινεν εἰς ἐκεῖνον τὸν ναὸν ἐνδεδυμένος ὡς εἷς τῶν πενήτων, παλαιὰ καὶ ἄχρηστα ἱμάτια, ἵνα βλέπῃ καθ' ἑκάστην τὸν πολυπόθητον χαρακτῆρα τῆς τοῦ Δεσπότου μορφώσεως, καὶ ζητῶν ἐλεημοσύνην παρὰ τῶν εὐσεβῶν χριστιανῶν, ἐξόδευεν ἐκ τῶν χρημάτων ὀλίγα καὶ ἠγόραζεν ἄρτον πρὸς τὴν ἀναγκαίαν ζωοτροφίαν, τ' ἄλλα δὲ διεμοίραζε τοῖς πτωχοῖς. Αὐτὸς δὲ ὅλην τὴν νύκτα προσηύχετο καὶ πᾶσαν Κυριακὴν μετελάμβανε τῶν θείων Μυστηρίων. Τόσον δὲ ἐταλαιπωρήθη ἐκ τῆς πολλῆς ἐγκρατείας, ὥστε ἠφανίσθη πᾶσα ἡ ὡραιότης τοῦ προσώπου αὐτοῦ καὶ ἡ ὄψις ἐμελάνισεν, ἡ σὰρξ ἐξηράνθη, οἱ ὀφθαλμοὶ ἐβάθυναν, καὶ μόνον ἔμεινε τὸ δέρμα καὶ τὰ κόκκαλα.

Οἱ δὲ γονεῖς αὐτοῦ, ἀφοῦ ἦλθεν ἡ ἡμέρα, καὶ τὸν μὲν Ἀλέξιον οὐχ εὗρον ἐν τῷ θαλάμῳ, μόνην δὲ τὴν νύμφην σκυθρωπὴν καὶ περίλυπον, μαθόντες τὴν ἀνέλπιστον τοῦ παιδὸς ἀναχώρησιν, ἐθρήνουν καὶ ἔτυπτον τὸ στῆθος πικρῶς ὀλολύζοντες· ἔπειτα ἰδόντες ὅτι τὰ δάκρυα οὐδὲν ὠφελοῦσιν, ἔστειλαν ἀνθρώπους ἵνα ζητήσωσιν εἰς διαφόρους τόπους καὶ χώρας, ἐξετάζοντες ἐπιμελῶς μήπου τοῦτον εὕρωσι. Κἀκεῖνοι μετὰ σπουδῆς ἀπελθόντες καὶ ἐξετάζοντες ἀκριβῶς εἰς πόλεις καὶ χώρας πολλάς, οὐδὲν ἔμαθον περὶ αὐτοῦ. Ἀπῆλθον δέ τινες αὐτῶν καὶ εἰς τὴν Ἔδεσσαν καὶ ἠρώτησαν· ἀλλ' οὐδεὶς ἐνόμιζεν ὅτι ὁ ζητούμενος ὑπῆρχεν ἐκεῖνος ὁ πάμπτωχος, βλέποντες αὐτὸν ἐν τοσαύτῃ εὐτελείᾳ· ἀλλὰ καὶ ἐλεημοσύνην αὐτῷ ἔδωκαν οἱ δοῦλοι αὐτοῦ, οὐδεὶς δ' αὐτὸν ἐγνώρισε διὰ τὴν πτωχείαν τοῦ ἐνδύματος καὶ τὴν ἀδυναμίαν τοῦ σώματος. Ὁ δὲ Ἀλέξιος κατανυγεὶς τῇ καρδίᾳ ἐδάκρυσε· καὶ δοξάζων τὸν Κύριον ἔλεγεν: «Εὐχαριστῶ σοι Θεέ μου, ὅτι μὲ ἠξίωσας ἵνα λάβω ἔλεος καὶ παρὰ τῶν πρώην ὑπηρετῶν μου.» Ἀφοῦ γοῦν οἱ ἀπεσταλμένοι περιελθόντες χώρας πολλὰς καὶ πάμπολλα μοναστήρια, ὑπέστρεψαν εἰς τὴν Ῥώμην ἄπρακτοι· τότε μάλιστα ἐπληρώθη θρήνων καὶ ὀδυρμῶν, οὐ μόνον ὁ οἶκος τοῦ Εὐφημιανοῦ, ἀλλά, οὕτως εἰπεῖν, ἅπας τόπος καὶ οἶκος τῆς πόλεως, καὶ αὐτὸ τ'

www.tezaurliturgic.ro
παλάτιον. Πάντες οἱ φίλοι καὶ συγγενεῖς ἔκλαιον ἄνδρες τε καὶ γυναῖκες καὶ παῖδες ἀνήλικοι. Ἐθρήνουν οἱ γονεῖς αὐτοῦ ἀπαρηγόρητοι, καὶ πάντες οἱ τοῦ οἴκου ἐμαυροφόρεσαν, καὶ μάλιστα ἡ μήτηρ αὐτοῦ, ἥτις ἐκλείσθη εἰς ἓν τῶν δωματίων, ἀσφαλίσασα καὶ τὴν θύραν καὶ τὰ παράθυρα, καὶ ἐκδυθεῖσα τὰ μαλακὰ ἱμάτια, ἐνεδύθη τρίχινα, στάκτην ἔβαλλεν εἰς τὴν κεφαλὴν, ἐκοιμᾶτο εἰς ψαθίον ἀτημέλητα, θρηνοῦσα καθ' ἑκάστην τοῦ φιλτάτου υἱοῦ τὴν στέρησιν. Ἡ δὲ πάλιν ἄχαρις καὶ δύσμοιρος νύμφη πολὺ ἐλεεινότερον ἐθρήνει τὴν αἰφνιδίαν καὶ ἀπροσδόκητον δυστυχίαν· καὶ ἁπλῶς εἰπεῖν, οὐδεὶς ἔμεινεν ἀδάκρυτος εἰς ἐκεῖνον τὸν οἶκον τὸν πρώην μὲν περιχαρῆ τε καὶ πανευφρόσυνον, τότε δὲ περίλυπον καὶ πανόδυρτον. Οὕτως αὐτοὶ μὲν εἶχον θλίψιν σαρκικὴν θρηνοῦντες ἀπαραμύθητοι, ὁ δὲ μακάριος Ἀλέξιος ἔχαιρε πνευματικῶς ἐν τῇ ξενιτείᾳ, δοξάζων τὸν Κύριον, ὅστις ἐλύτρωσεν αὐτὸν ἀπὸ τῶν φροντίδων τοῦ βίου καὶ διεφύλαξεν ἄγνωστον, ἵνα μὴ περιπλεχθῇ εἰς δυσκολίας ὁ πόθος αὐτοῦ. Ἐποίησεν οὖν εἰς τὸν νάρθηκα τοῦ ναοῦ ἐκείνου τῆς ὑπεραγίας Θεοτόκου, χρόνους 17, διάγων πολιτείαν θεάρεστον. Ὅθεν οἱ ἐγχώριοι ἐτίμων αὐτὸν ὡς ἅγιον, βλέποντες τὸν ἔνθεον αὐτοῦ βίον. Αὐτὸς δὲ φοβούμενος μὴ στερηθῇ τῆς οὐρανίου δόξης, δοξαζόμενος προσκαίρως ἐπὶ τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων, ἐμελέτησεν ἵνα μεταβῇ εἰς ἄλλον τόπον ἄγνωστον. Καὶ ἀπελθὼν εἰς τὸν λιμένα, εὗρε πλοῖον ἀπερχόμενον εἰς τὰ μέρη τῆς Κιλικίας, καὶ ἐπέβη εἰς αὐτὸ, σκοπῶν ἀπελθεῖν εἰς Ταρσὸν, ὅπου ἦν ναὸς τοῦ ἁγίου Παύλου περίφημος. Ἀλλὰ μετὰ πολλὰς ἡμέρας, ὧδε κἀκεῖσε περιφερόμενοι εἰς τὸ πέλαγος, ἔφθασαν εἰς τὴν Ῥώμην καὶ μὴ θέλοντες· τοῦτο δὲ ὑπῆρχεν οἰκονομία Θεοῦ, καὶ ὁ ἅγιος ἐγνώρισεν. Ὅθεν ἵνα μηδὲ ξένους ἄλλους πλέον ἐπιβαρύνῃ, βουλεύεται βουλὴν, ἵνα παροικίσῃ εἰς τὴν πατρικὴν αὐτοῦ οἰκίαν ἄγνωστος ἕως τέλους· ὅπως ἔχῃ καὶ μείζονα τὸν μισθὸν τῆς ὑπομονῆς. Ἀπελθὼν οὖν εἰς τὴν ἐκκλησίαν προσηύξατο τῷ Θεῷ, δεόμενος ὅπως αὐτὸν ἐνισχύσῃ πρὸς τελείωσιν τοῦ μελετωμένου. Προσκυνήσας δὲ καὶ εἰς ἄλλας ἐκκλησίας, ὑπήντησε τῷ Πατρὶ ἐρχομένῳ ἀπὸ τῶν ἀνακτόρων μετὰ πολλῆς συνοδίας κατὰ τὴν ἀξίαν αὐτοῦ, καὶ προσκυνήσας ἕως ἐδάφους εἶπε ταῦτα: Παρακαλῶσε, κράτιστε ἄρχων, ποίησον ἔλεος μετ' ἐμοῦ τοῦ ξένου καὶ πανπόρου, ἄφες με παροικῆσαι εἰς μίαν τινὰ γωνίαν τοῦ παλατίου σου, καὶ τρέφεσθαι ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τῶν δούλων σου· ὁ δὲ Θεὸς εὐλογῆσαι τὸν οἶκόν σου διὰ ταύτην τὴν εὐσπλαγχνίαν σου, καὶ δώῃ σοι τὴν οὐράνιον βασιλείαν· κἂν ἔχῃς καὶ συγγενῆ τινα διατρίβοντα εἰς τὴν ξενιτείαν, ἀξιώσαι σε ὁ Κύριος ἰδεῖν αὐτὸν καὶ ἀπολαῦσαι, ὡς ἐπιθυμεῖ ἡ καρδία σου. Ταῦτα ἀκούσας ὁ ἄρχων ἐδάκρυσεν, ἐνθυμηθεὶς τὸν υἱόν του· καὶ εὐσπλαγχνισθεὶς ἐδέξατο τὸν πένητα. Καὶ προσκαλεσάμενος ἕνα τῶν ὑπηρετῶν, ὃν εἶχεν ἐπιμελέστατον, παρέδωκεν αὐτῷ τὸν Ἀλέξιον, ἐπιτάξας ἵνα περιθάλπῃ τὸν ξένον. Καὶ ὁ θεράπων παραλαβὼν τὸν Ἀλέξιον εἰσήγαγεν εἰς οἴκημα μικρὸν, ὅπερ ἔτυχε κείμενον οὐ μακρὰν τοῦ δωματίου τῆς γυναικὸς αὐτοῦ. Ὁ μὲν οὖν Εὐφημιανὸς ἔπεμπεν αὐτῷ καθ' ἑκάστην ἐκ τῶν βρωμάτων τῆς ἰδίας αὐτοῦ τραπέζης. Ὁ δὲ Ἀλέξιος ἐγεύετο τροφῆς μόνον κατὰ πᾶσαν Κυριακὴν, ἀφ' οὗ ἐκοινώνει τῶν Ἀχράντων Μυστηρίων· ἡ δὲ τροφὴ ἦν ἄρτος καὶ ὕδωρ, καὶ ταῦτα σύμμετρα, μόνον ἵνα μὴ ἀ-

www.tezaurliturgic.ro
ποθάνῃ διὰ τὴν ἄμετρον ἐγκράτειαν· προσηύχετο δὲ καὶ ὅλην τὴν νύκτα καὶ τὰς ἡμέρας τὸ πλεῖστον μέρος. Βλέπων οὖν ὁ φθονερὸς καὶ μισάνθρωπος Δαίμων τὴν καρτερίαν αὐτοῦ τὴν θαυμάσιον, ἔτριζε τοὺς ὀδόντας, καὶ ἔσπειρε δεινοὺς καὶ μεγάλους πολέμους, ὅπως αὐτὸν ἀναγκάσῃ ἀποβαλεῖν τὴν ἀνείκαστον ἣν εἶχεν ὑπομονήν. Καὶ πρῶτον μὲν παρώξυνε τοὺς δούλους εἰς τὸ πειράζειν αὐτὸν καὶ ἐνοχλεῖν· καὶ ἄλλοι μὲν ἐλοιδώρουν καὶ ἐῤῥάπιζον αὐτὸν, ἕτεροι δὲ κατέχεον ἐπ' αὐτοῦ τῶν ἀγγείων τὰ ἀποπλύματα, καὶ ἄλλας ὕβρεις καὶ παροινίας πολλὰς ἔπραττον εἰς αὐτὸν ἄνθρωποι τρυφῶντες καὶ ἀτακτοῦντες εἰς οἰκίαν μεγάλην· τὸν δὲ διωρισμένον αὐτοῦ φροντιστὴν πολλάκις ἐλάνθανον ἢ καὶ παρήκουον νουθετοῦντα. Αὐτὸς δὲ ὁ ἀείμνηστος ὑπέμεινε πάντα σιωπῶν, καὶ γινώσκων ὅτι ἐκ δαιμονικῆς ἐνεργείας ἐγίνοντο, καὶ πώποτε οὔτ' ἐγόγγυσεν, οὔτε λόγον εἶπε κατ' αὐτῶν ἀπρεπῆ· μόνον τὸν δεσπότην Θεὸν ἱκέτευεν, ἵνα μέχρι τέλους ὑπομονὴν αὐτῷ παρέχῃ, μήπως ζημιωθῇ τὸν μισθὸν τῆς ἀνταποδόσεως. Οὐ μόνον δὲ τοῦτον εἶχε τὸν πόλεμον ὁ ὅσιος, ἀλλὰ καὶ ἕτερον χαλεπώτερον. Τὸ παράθυρον τοῦ δωματίου τῆς νύμφης ἔβλεπε πρὸς τὸ κελλίον τοῦ ὁσίου, διότι ἡ νύμφη, ὡς ἄλλη νέα Ῥοὺθ, οὐκ ἠθέλησεν ἐπανελθεῖν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτῆς, ἀλλὰ μετὰ τῆς πενθερᾶς συνεκάθητο, καὶ συνέκλαιον ἀμφότεραι πολλάκις ὀδυρόμεναι, ἡ μὲν τὴν χηρείαν, ἡ δὲ τοῦ φιλτάτου καὶ μονογεννοῦς υἱοῦ τὴν ὀρφανίαν καὶ στέρησιν, καὶ οὔτε τὸ μάκρος τοῦ χρόνου, οὔτε αἱ παρὰ τῶν συγγενῶν καὶ φίλων παντοῖαι παρηγορίαι ἠδύναντο καταπραῦναι τὸ πολὺ τῆς θλίψεως αὐτῶν· ἀλλ' ὅσον ὁ χρόνος παρήρχετο μηδαμόθεν φέρων μηδεμίαν ἀγγελίαν περὶ τοῦ ποθουμένου, τοσοῦτον αἱ καρδίαι αὐτῶν πρὸς τὸν ἐκείνου πόθον ἀνεφλέγοντο. Καὶ ἤκουσε πολλάκις ὁ ἅγιος τὴν σύζυγον θρηνῳδοῦσαν κατὰ τὸ ἔθος τῶν γυναικῶν, καὶ λέγουσαν τοιαῦτα τινά: «Οὐαί μοι τῇ νύμφῃ τῇ κακονύμφῃ καὶ ζώσῃ χήρᾳ! φεῦ μοι τῇ παναθλίᾳ καὶ κακοδαίμονι! Ποῦ ἄρα διατρίβει ὁ ἠγαπημένος μου σύζυγος; τί ἔπαθες νυμφίε μου φίλτατε; πῶς ἐφάνης οὕτω σκληροκάρδιος εἰς ἐμὲ τὴν τάλαιναν; τί με τοσοῦτον ἐμίσησας; Ἂν εἶχες σκοπὸν ἐγκαταλιπεῖν με φυγὼν παρευθὺς, τί καὶ ὅλως μ' ἐνυμφεύεσο; διατί μ' ἔῤῥιπτες εἰς βασάνους, καὶ ὀδυνῶμαι τοσούτους χρόνους; διατί κἂν οὐδὲ μικρόν μοι γραμμάτιον ἔστειλες, ἀναγγέλων ποῦ καὶ πῶς διάγεις εἰς τὴν ξένην γῆν, καὶ νουθετῶν με, τί γένωμαι, ποῦ πορεύσωμαι; Σὺ δ' οὐδὲ τοσαύτην φροντίδα ἔλαβες περὶ ἐμοῦ, ἀλλ' ἀφ' οὗ μ' ἐνυμφεύθης ματαίως, ἔπειτ' ἄφαντος ἐγένου μισήσας ὡς προδότιν. Ἀλλὰ σὺ μὲν οὕτως ὠμὸς ἐφάνης περὶ ἐμὲ καὶ ἀσυμπαθής· ἐγὼ δὲ πᾶν τοὐναντίον ποιήσω· μιμήσομαι τὴν ἄμωμον τρυγόνα καὶ ἄδολον, ἥτις ὅταν τὸν σύζυγον ἀπολέσῃ, οὔτε εἰς χλωρὸν κλαδίον κάθηται πλέον, οὔτε καθαρὸν ὕδωρ πίνει, οὔτε κελαδεῖ. Θρηνεῖ δὲ μόνον τὴν τύχην αὐτῆς, ἕως ἂν ἀποθάνῃ διὰ τὴν θλίψιν. Οὕτω ποιήσω κἀγὼ ἡ δύστηνος καὶ ταλαίπωρος. Οὐ παύσομαι καθ' ἑκάστην θρηνοῦσα, ἕως ἂν ὑπὸ τῆς ὀδύνης τελευτήσω τὸν βίον.» Τοιαῦτα μὲν ἔλεγεν ἡ ὁμόζυγος. Ἡ δὲ Ἀγλαῒς ἔτι πλείονα ὀδυρομένη, καὶ ἀναλογιζομένη τὰς ὠδῖνας, τοὺς φόβους, τὰς βασάνους ὅσας ὑπέμεινε βαστάσασα τὸν υἱὸν ἐν τῇ κοιλίᾳ, καὶ γεννήσασα καὶ θρέψασα φιλοστόργως. Αὐτὸς δ' ἐξαίφνης ἀπαρνηθεὶς τὴν μητέρα προὐξένησεν εἰς αὐτὴν ὀδύνας καὶ θλίψεις πολὺ πικρο-

www.tezaurliturgic.ro

τέρας καὶ πλείονας καὶ διαρκεστέρας παρὰ τῆς γεννήσεως τὰς ὠδῖνας. Ταῦτα πάντα ἤκουε συχνάκις ὁ ἀήττητος ἀγωνιστής, καὶ ἐπόνει μὲν τὴν καρδίαν, καὶ ἐλυπεῖτο καὶ τὴν μητέρα καὶ τὸν πατέρα καὶ τὴν ὁμόζυγον, καὶ κατὰ τοῦτο μάλιστα βαρὺν ὁ πονηρὸς ἐπέφερεν αὐτῷ τὸν πόλεμον καὶ λίαν ὀδυνηρόν. Ἀλλ' ὁ ἅγιος ἐνθυμούμενος τὰ εὐαγγελικὰ τοῦ δεσπότου Χριστοῦ λόγια: «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.» Ἀντέταττε κατὰ τῆς σαρκικῆς ἀγάπης τὸν ἔνθεον ἔρωτα, καὶ ὑπέμεινε τὸν φλογμὸν τῆς καρδίας ὁ καρτερόψυχος, πόθῳ πόθον ἀντωσάμενος, οὐχ ὡς ὑπάρχων πρὸς τοὺς γεννήτορας ἄσπλαγχνος καὶ ἀμείλικτος, ἀλλὰ πολὺ πλέον ὑπήκοος πρὸς τὸν πλάστην καὶ σωτῆρα· καὶ τούτου πολλάκις ἐδέετο μετὰ δακρύων ἵνα στηρίζῃ αὐτὸν εἰς τὴν ὑπομονὴν ἕως τέλους· ὁμοίως προσηύχετο καὶ ὑπὲρ τῶν γονέων καὶ τῆς συζύγου, ἵνα μὴ ἀποθάνωσιν ἀώρως ὑπὸ τῆς λύπης. Οὕτω λοιπὸν ὁ ἀείμνηστος διῆγεν εἰς τὸν πατρικὸν οἶκον ἀγνώριστος ἐν σκληραγωγίᾳ ταλαιπωρούμενος, ὑπὸ τοῦ ἐχθροῦ πολεμούμενος, ὑπὸ τῶν ἰδίων δούλων του ἐμπαιζόμενος, οὐχὶ δέκα ἡμέρας ἢ ἑκατὸν, ἀλλὰ χρόνους ὁλοκλήρους δεκαεπτὰ ὁ τῷ ὄντι ἀδαμάντινος, καὶ οὐχὶ σάρκινος. Καὶ τότε ἀπεκάλυψεν αὐτῷ ὁ Κύριος, ὅτι κατὰ τὴν ἐρχομένην Παρασκευὴν ἔμελλεν ἀναπαυθήσεσθαι ἀπὸ τῶν κόπων καὶ βασάνων. Ἐζήτησε λοιπὸν παρὰ τοῦ ὑπηρέτου χάρτην καὶ καλαμάριον, καὶ ἔγραψε πάντα τὰ κατ' αὐτόν· καὶ πρὸς πλείονα βεβαίωσιν ἔγραψε καὶ ὅσα κατ' ἰδίαν εἶπε πρὸς τὴν νύμφην ὅτε παρέδιδεν αὐτῇ τὴν ζώνην καὶ τὸ δακτυλίδιον καὶ ἕτερα ἀπόκρυφα πράγματα ὅσα μόνον οἱ γονεῖς ἐγνώριζον· εἰς δὲ τὸ τέλος ἔγραψε ταῦτα: «Δέομαι καὶ παρακαλῶ φιλόστοργοι γονεῖς μου, καὶ σὺ σεμνοτάτη σύζυγε μὴ ἀγανακτήσητε κατ' ἐμοῦ, διότι παρέσχων ὑμῖν τοσαύτην θλῖψιν καὶ βάσανον· καγὼ γὰρ ἤλγουν συλλυπούμενος ὑμῖν, καὶ πολλάκις ὑπὲρ ὑμῶν ἐδεήθην πρὸς Κύριον, ἵνα δίδωσιν ὑμῖν ὑπομονὴν, καὶ ἵνα τῆς αὐτοῦ βασιλείας ὑμᾶς ἀξιώσῃ· καὶ ἐλπίζω εἰς τὴν αὐτοῦ εὐσπλαγχνίαν ὅτι πληρωθήσεταί μου τὸ αἴτημα· ὅτι κἀγὼ δι' ἀγάπην αὐτοῦ, καὶ πρὸς ὑμᾶς ἐφάνην τοσοῦτον ἄσπλαγχνος καὶ πρὸς ἐμαυτὸν σκληρότερος· ἀλλὰ κάλλιον τὸ «Πᾶς πειθαρχεῖ τῷ Πλάστῃ καὶ Σωτῆρι μᾶλλον, ἢ τοῖς γονεῦσιν· ὅσῳ δὲ πλέον ὑμᾶς ἐλύπησα, τοσούτῳ πλείονα καὶ τὸν μισθὸν ἕξετε.» Ταῦτα γράψας ἔμεινε προσευχόμενος ἕως ὥρας τῆς μεταστάσεως. Ἦν δὲ τότε τῆς Ῥώμης ἀρχιεπίσκοπος Ἰννοκέντιος. Τούτου γοῦν ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων ἱερουργοῦντος ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, παρόντος καὶ τοῦ βασιλέως Ὀνωρίου καὶ τῶν λοιπῶν τῆς συγκλήτου, ἠκούσθη φωνὴ ἄνωθεν τοῦ θυσιαστηρίου λέγουσα ταῦτα: «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.» Ταῦτα ἀκούσαντες οἱ παρεστῶτες ἔφριξαν, καὶ πεσόντες κατὰ γῆς, ἔκραζον τὸ Κύριε ἐλέησον· καὶ πάλιν μετ' ὀλίγον ἠκούσθη καὶ ἑτέρα φωνὴ λέγουσα: «Τῇ Παρασκευῇ πρωῒ ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐξέρχεται ἐκ τοῦ σώματος, καὶ ζητήσατε αὐτὸν ἵνα ποιήσητε δέησιν ὑπὲρ τῆς πόλεως, ὅπως μείνητε ἀβλαβεῖς.» Καὶ λοιπὸν τῇ Πέμπτῃ ἑσπέρας, συνηθροίσθησαν ἅπαντες ἐν τῷ ῥηθέντι ναῷ τοῦ ἁγίου Πέτρου, καὶ τελέσαντες ἀγρυπνίαν ὅλην τὴν νύκτα, ἱκέτευον ὅπως φανερώσῃ αὐτοῖς ὁ Κύριος ποῦ εὑρήσουσι τὸν δοῦλον αὐτοῦ· ἦσαν δὲ παρόντες ὅ,τε πατριάρχης καὶ ὁ βασιλεὺς καὶ παρ'

www.tezaurliturgic.ro
αὐτῷ ὁ Εὐφημιανός. Πρωΐας δὲ πάλιν ἦλθε φωνὴ λέγουσα: «Ἐν τῷ οἴκῳ τοῦ Εὐφημιανοῦ ἐστὶν ὁ ἄνθρωπος τοῦ Θεοῦ.» Τότε λέγει πρὸς τὸν Εὐφημιανὸν ὁ βασιλεύς: Εἰς τὴν οἰκίαν σου ἔχεις κεκρυμμένον τοιοῦτον θησαυρὸν ἀνεκτίμητον, καὶ οὐδὲν ἡμῖν ἐφανέρωσας; Ὁ δὲ ἀπεκρίθη: «Ζῇ Κύριος ὁ Θεός μου, οὐδὲν ἐγίνωσκον ἕως σήμερον· ἀλλ᾽ ὑπάγω δρομαῖος καὶ ἐρωτήσω τοὺς οἰκείους ἵνα εὕρωμεν τὸν ποθούμενον.» Ἀπελθὼν οὖν ἡτοίμασε καθέδρας διὰ τὸν βασιλέα καὶ τὸν πατριάρχην, καὶ τοὺς λοιποὺς ἄρχοντας, ἐρχομένους εἰς τὴν οἰκίαν αὐτοῦ. Καὶ ἐξῆλθον πάντες οἱ θεράποντες αὐτοῦ μετὰ λαμπάδων καὶ θυμιαμάτων πρὸς ὑποδοχήν. Ὁ δὲ Εὐφημιανὸς ἠρώτησε τοὺς ὑπηρέτας, εἴ τινα γνωρίζουσιν ἄνθρωπον ἐνάρετον ἐν τῷ οἴκῳ παροικοῦντα· τότε ὁ ὑπηρέτης τοῦ Ἀλεξίου εἶπεν αὐτῷ: «Ὑπολαμβάνω Κύριέ μου, ὅτι οὗτος ἐστὶν ἐκεῖνος ὁ ξένος, ᾧ με προσέταξας ὑπηρετεῖν, ὅτι μεγάλας ἀρετὰς καὶ θαυμάσια πράγματα εἶδον εἰς τοῦτον τὸν ἄνθρωπον. Νηστεύει πάσας τὰς ἡμέρας τῆς ἑβδομάδος, καὶ τὴν Κυριακὴν κοινωνεῖ τῶν θείων Μυστηρίων· ἔπειτα τρώγει δύο οὐγγίας ἄρτου, καὶ πίνει ὀλίγον ὕδωρ, καὶ οὕτω διάγει πάντοτε· τὰ δὲ φαγητὰ ὅσα στέλλεις ἐκ τῆς τραπέζης σου δίδωσιν ἄλλοις πτωχοῖς· ἀγρυπνεῖ τὰς νύκτας ὅλας καὶ προσεύχεται, καὶ (τὸ θαυμασιώτερον) ὑπομένει ἀταράχως τὰς ὕβρεις, ὅσας εἰς αὐτὸν ἐνίοτε ποιοῦσιν οἱ ἀναίσχυντοι ὑπηρέται, οἵτινες καὶ ἐῤῥάπισαν αὐτὸν ἐκ συνεργείας τοῦ Δαίμονος, καὶ τὰ σκεύη πλύνοντες κατέχεον ἐπ᾽ αὐτὸν τὰ ἀποπλύματα, παροξύνοντες αὐτὸν εἰς θυμόν· ἀλλ᾽ αὐτὸς ὑπέμεινεν ἅπαντα μηδόλως ὀργιζόμενος. Ταῦτα ἀκούσας ὁ Εὐφημιανός, ἔδραμεν εὐθὺς πρὸς τὸν ἅγιον καὶ ἐφώνησεν αὐτὸν ἐκ τρίτου, ὁ δὲ οὐδὲν ἀπεκρίνατο. Ὅθεν εἰσελθὼν εἰς τὸν οἰκίσκον, εὗρεν αὐτὸν κείμενον, καὶ τὸ πρόσωπον κεκαλυμμένον, εἰς δὲ τὴν δεξιὰν αὐτοῦ ἐκράτει χαρτίον, ὅπερ ἐπειράθει μὲν λαβεῖν ὁ Εὐφημιανός, ἀλλ᾽ οὐκ ἐδυνήθη. Ὅθεν ἐπιστραφεὶς σπουδαίως ἀνήγγειλε τῷ βασιλεῖ τὰ γενόμενα, καὶ ὁ βασιλεὺς προσέταξεν εὐθὺς εὐτρεπίσαι κλίνην πολύτιμον, ὅπου ἔθηκαν τὸ ἅγιον λείψανον. Ἔπειτα ἀπεκάλυψαν τὸ πρόσωπον αὐτοῦ, καὶ ἔλαμψεν ὡς ἄγγελος, ὥστε μόλις ἠδύναντο πρὸς αὐτὸν ἀτενίζειν. Τότε ὁ βασιλεὺς μετὰ τοῦ πατριάρχου κλίναντες τὰ γόνατα, καὶ ἀσπασάμενοι τὸ λείψανον τοῦ ἁγίου, εἶπον αὐτῷ μετὰ ταπεινώσεως· «Δεόμεθα δοῦλε Χριστοῦ, δὸς ἡμῖν τὸν χάρτην τοῦτον ἵνα γνῶμεν τίς εἶ· καὶ ἄνθρωπε τοῦ Θεοῦ ἐπουράνιε, μὴ παρακούσῃς· ὅτι ἀρχηγοὶ τοῦ λαοῦ ἐσμὲν (εἰ καὶ ἁμαρτωλοί), ἐγώ τε καὶ ὁ ἀρχιερεὺς οὗτος, ὁ τοῦ δεσπότου Χριστοῦ δοῦλος γνήσιος.» Ταῦτα ὡς εἶπον μετὰ δακρύων ἔδωκεν αὐτοῖς τὸ γράμμα ὁ ὅσιος. Οἱ δὲ λαβόντες ἐχάρησαν, καὶ γενομένης σιωπῆς, ἀνέγνωσαν αὐτὸ λαμπρᾷ τῇ φωνῇ εἰς ἐπήκοον πάντων. Ὡς οὖν ἐπληροφορήθη βεβαίως ὁ Εὐφημιανὸς ἐκ τῶν ἐν αὐτῷ γεγραμμένων μυστικῶν, ὅτι αὐτός ἐστιν ὁ Ἀλέξιος, ἀνεβόησε κλαίων πικρῶς καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ τὰς τρίχας ἀνέσπα, καὶ τὸ στῆθος ἔτυπτε, καὶ ῥίψας ἑαυτὸν ἐπὶ τοῦ ἱεροῦ λειψάνου, κατέῤῥεε δάκρυα κρουνηδόν, καὶ στενάζων ἐκ βάθους καρδίας ἔκραζεν: «Οἴμοι τέκνον γλυκύτατον! διατί μοι τοσαύτην ἔδωκας θλῖψιν καὶ βάσανον; Διὰ τοσούτων χρόνων μὲ ἔβλεπες καθ᾽ ἑκάστην τὸν ἄθλιον μαυροφοροῦντα καὶ πενθοῦντα καὶ ἐκ καρδίας στενάζοντα, πῶς οὐκ ἐφανερώθης εἰς ἐμὲ σπλαγχνι-

www.tezaurliturgic.ro

σθείς; ὦ ἀγάπη μου· ὦ παραμυθία τοῦ γήρως μου καὶ ἀνάπαυσις! Οἴμοι! τί πράξω πρότερον ὁ ταλαίπωρος; τὸν θάνατόν σου πενθήσω; ἢ πανηγυρίσω τὴν εὕρεσιν; Ἡ φύσις μὲ ἀναγκάζει θρηνεῖν, ἀλλὰ πάλιν οὐκ ἔξεστι κλαίειν τῶν ἁγίων τὴν κοίμησιν.» Ταῦτα καὶ ἄλλα πλείονα λέγοντος αὐτοῦ μετὰ φωνῶν ἰσχυρῶν, ἤκουσαν αἱ γυναῖκες τὸν θόρυβον· καὶ μαθοῦσαι ὅτι οὗτος ἦτον ὁ ποθούμενος, ὥρμησαν ἔξω τῶν θαλάμων ἀσκεπεῖς ὑπὸ τῆς σπουδῆς ἐξελθοῦσαι καὶ ἀνυπόδητοι· ἐπειδὴ δὲ συνήχθη ὄχλος πολύς, ὃν οὐκ ἠδύναντο διασχίζειν, παρεκάλει τὸ πλῆθος ἡ μήτηρ (ἥτις προεπορεύετο τῆς νεάνιδος) τοιαῦτα κράζουσα: Παραχωρεῖτε παρακαλῶ, δότε μοι τόπον, ἵνα ἰδῶ τὸ ἠγαπημένον μου τέκνον· δότε μοι τόπον ἄνθρωποι, διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, ὅπως ἀποχαιρετήσω τὸν μονογενῆ μου υἱόν, τὸ φῶς τῶν ὀμμάτων μου· δότε μοι τόπον φιλόχριστοι, ὅπως ἀσπασθῶ κἂν νεκρὸν τὸ ἐμὸν ἀποκύημα.» Φθάσασα δὲ πρὸς τὸ τίμιον ἐκεῖνο καὶ ἅγιον λείψανον, ἐπέρριψεν ἑαυτὴν ἐπάνω αὐτοῦ, δάκρυα ῥέουσα καὶ ποθεινῶς αὐτὸ καταφιλοῦσα, καὶ πικρῶς ἐκτραγῳδοῦσα τὴν συμφοράν. Ὡσαύτως καὶ ἡ νεᾶνις προσπεσοῦσα κατεθρήνει κοπτομένη, καὶ τί μὴ λέγουσα; Ἔκλαιον δὲ καὶ πάντες οἱ παρόντες, συμπονοῦντες ἐπὶ τῷ πάθει, δι' ὃ καὶ αὐτὰ σχεδὸν τὰ ἄψυχα συνεστέναζον. Οὕτω δὲ θρηνοῦντας γοερῶς τοὺς γονεῖς καὶ τὴν σύζυγον, καὶ προσκειμένους ἐπὶ τῆς κλίνης ὥραν ἱκανήν, πλησιάσαντες οἱ φίλοι καὶ συγγενεῖς οὐκ ἠδύναντο ἀποσπᾶσαι ἀπὸ τοῦ ἁγίου λειψάνου, καὶ μόλις ὁ βασιλεὺς καὶ ὁ πατριάρχης ἀπεχώρισαν αὐτοὺς προσελθόντες· καὶ προσέταξαν ἐπαρθῆναι τὴν κλίνην καὶ τεθῆναι εἰς τὸ μέσον τῆς πόλεως, ὅπως ἀσπασθῇ τὸν ἅγιον ὅλος ὁ λαός, εἰς χάριτος μέθεξιν. Ἐκεῖ γοῦν ἐγένοντο ἐξαίσια θαύματα· κωφοὶ ἐλάλησαν, τυφλοὶ ἀνέβλεψαν, δαιμονῶντες ἰάθησαν, λεπροὶ ἐκαθαρίσθησαν, καὶ πᾶσα νόσος ἠλαύνετο καὶ ἔφευγεν ἀπὸ τῶν πασχόντων, ὅσοι κατησπάζοντο τὸ ἱερὸν λείψανον. Ταῦτα βλέποντες οἱ παρεστῶτες, μᾶλλον ἐθαύμαζον καὶ τὴν εὐλάβειαν ηὔξανον καὶ ἐδόξαζον τὸν Θεόν. Ὅθεν καὶ αὐτὸς ὁ βασιλεὺς καὶ ὁ πατριάρχης ἐβάστασαν τὴν κλίνην διὰ εὐλάβειαν, ἵνα μετακομίσωσιν εἰς τὴν ἐκκλησίαν· οἱ δὲ γονεῖς μετὰ τῆς νύμφης ἐπηκολούθουν κλαίοντες· ἀλλ' οἱ ὄχλοι ἦσαν τόσον πολλοὶ ὥστε συνεθλίβοντο περὶ τὴν κλίνην καὶ οἱ βαστάζοντες αὐτήν, ὅτε βασιλεὺς καὶ ἀρχιερεὺς οὐκ ἠδύναντο προχωρεῖν. Ὅθεν ἐκέλευσε τοὺς ὑπηρέτας ὁ βασιλεύς, ἵνα διασκορπίσωσι κατὰ γῆς νομίσματα χρυσᾶ τε καὶ ἀργυρᾶ, ὅπως δοθεὶς ὁ λαὸς εἰς τὰ χρήματα, μὴ παρεμποδίζῃ τοῦ λειψάνου τὴν πρόοδον· ἀλλ' ἐκεῖνοι τοσαύτην εὐλάβειαν ἔδειξαν, ὥστε οὐδεὶς ἐπέβλεψεν εἰς τὰ χρήματα, μόνον εἰς τὸν ἅγιον εἶχαν ὅλον τὸν πόθον προσηλωμένον. Τότε ὁ ἀρχιερεὺς ὑπέσχετο πρὸς ἅπαντας, ὅτι οὐ ταφήσεται τὸ ἅγιον λείψανον, ἕως ἂν αὐτὸ πάντες ἀσπασθῶσιν, ἁγιασμὸν ἐξ αὐτοῦ ἀρυόμενοι· καὶ οὕτω μετὰ βίας πεισθέντες παρεχώρησαν, καὶ μετοικίσθη τὸ λείψανον εἰς τὴν ἐκκλησίαν, καὶ ἔμεινεν ἐκεῖ μίαν ἑβδομάδα. Καθ' ὅλας δὲ τὰς ἡμέρας ταύτας παρέμειναν καὶ οἱ γονεῖς μετὰ τῆς νύμφης ἄσιτοι καὶ κλαίοντες ἀκαταπαύστως καὶ προσευχόμενοι. Ἔπειτα τοῦ βασιλέως προστάξαντος, ἡτοιμάσθη γλωσσόκομον ἀργυροῦν, καὶ ἐν αὐτῷ ἀποθέμενοι τὸ ἅγιον λείψανον, ἔθαψαν ἐντίμως ἐν τῷ ναῷ τοῦ ἁγίου Ἀποστόλου Πέτρου, ἐπιτελέσαντες μεγάλην

www.tezaurliturgic.ro
πανήγυριν. Ἀνέβλυσε δὲ καὶ ὁ τάφος μύρον εὐωδέστατον, καὶ ὅσοι ἐχρίσθησαν ἀσθενεῖς ἰατρεύθησαν.

Ἐκοιμήθη δὲ ὁ Ὅσιος τῇ 17 Μαρτίου μηνὸς ἐν ἔτει ἀπὸ Χριστοῦ τετρακοσιοστῷ δεκάτῳ, Ῥώμης μὲν βασιλεύοντος Ὀνωρίου, καὶ Μαρκιανοῦ ἀρχιεπισκοποῦντος, καθώς τινες γράφουσιν, ἕτεροι δὲ Ἰννοκεντίου. Κατὰ δὲ τὴν Κωνσταντινούπολιν βασιλεύοντος Θεοδοσίου, υἱοῦ Ἀρκαδίου. Εἰς δόξαν Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τῆς ὁμοουσίου Τριάδος καὶ ἀδιαιρέτου Θεότητος· ᾗ πρέπει κράτος, τιμὴ καὶ προσκύνησις πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΛΕΞΙΟΝ ΤΟΝ ΑΝΘΡΩΠΟΝ ΤΟΥ ΘΕΟΥ.

Ψαλλόμενος ὑπὲρ νοσούντων καὶ παντοίως θλιβομένων.

(Ποίημα Διονυσίου ἱερομονάχου τοῦ Λακεδαιμονίου.)

Ἦχος Δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Οἱ ἐπηρείαις τῶν δεινῶν χειμαζόμενοι, καὶ συνοχῇ τῶν παθημάτων θλιβόμενοι, νῦν προσδραμόντες Ἅγιε τῇ χάρᾳ τῇ σῇ, κράζομεν Ἀλέξιε, σὲ θερμῶς δυσωποῦντες: Λύτρωσαι τοὺς δούλους σου, ἐκ φθορᾶς καὶ θανάτου, ὡς χάριν ταύτην ἔχων ἐκ Θεοῦ, ἰᾶσθαι πάθη, καὶ σώζειν τοὺς κάμνοντας.

Δόξα, καὶ νῦν. Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε.

Εἶτα ὁ Ν. καὶ ὁ Κανὼν, οὗ ἡ Ἀκροστιχίς:

«Ἐν σοὶ, Θεοῦ ἄνθρωπε, εὐεκτεῖν ἔχω.»

Ἦχος πλ. Δ΄. Ἁρματηλάτην Φαραώ.

Ἐπαγωγὲ τῶν συμφορῶν Ἀλέξιε, καὶ τρικυμίαι παθῶν, ἐξ ἁμαρτιῶν μου πάντοθεν συνέσχον με, καὶ μαστιγοῦσιν Ἅγιε, καὶ πικρῶς ὀδυνῶμαι, καὶ κινδυνεύω πρὸς θάνατον· σῶσόν με λιταῖς ταῖς σοῖς, δέομαι.

Νενοσηκυίας ἐξ ἀτόπων πράξεων τῆς ταπεινῆς μου ψυχῆς, ὀδυνηρὰ πάθη τὸ δύστηνον σωμά μου παντοίως βασανίζουσι· καὶ στενάζω καὶ κράζω: Χριστοῦ θεράπων Ἀλέξιε, σπεῦσον, ἀπολλύμενον σῶσόν με.

Σὲ ἀκεσώδυνον πηγὴν ἰάσεων ἀναδειχθέντα λαμπρῶς, ὡς τοῦ Θεοῦ δοῦλον, ἅγιε Ἀλέξιε, καθικετεύω, ἴασαι τῆς ψυχῆς καὶ σαρκός μου, ταῖς σαῖς πρεσβείαις, τοὺς μώλωπας, ὅπως σε γεραίρω σωζόμενος. Θεοτοκίον.

Ὁμολογοῦντες εὐσεβῶς μητέρα σε τοῦ εἰληφότος ἐκ σοῦ ὑπερφυῶς σάρκα, καὶ ἀνάρχως λάμψαντος ἐκ τοῦ Πατρὸς,

www.tezaurliturgic.ro

κηρύττομεν Θεοτόκον σε κόρη, καὶ δυσωποῦμεν, διάσωσον χαλεπῶν κινδύνων τοὺς δούλους σου.

'Ωδὴ Γ'. Οὐρανίας ἁψῖδος.

Ἱκετεύων μὴ παύσῃ τὸν ἀγαθὸν "Αγιε, καὶ γλυκὺν Δεσπότην, συγγνώμην δοῦναι πταισμάτων μοι τῶν χαλεπῶν καὶ πολλῶν καὶ τοῦ νοσοῦντος σαρκίου τὴν ταχεῖαν ἴασιν, ὅπως γεραίρω σε.

Θεαρέστως βιώσας, θαυμαστῶς ἰσάγγελον πολιτείαν ἤνυσας, Πάτερ, καὶ μετὰ σώματος, καὶ τὰς ἰάσεις μισθὸν παρὰ Θεοῦ ἐκομίσω, τοὺς πιστῶς προσιόντας σώζων 'Αλέξιε.

'Εν ᾠδαῖς τε καὶ ὕμνοις ἀνευφημῶν "Οσιε, σοῦ τὴν πολιτείαν γεραίρω καὶ τὰ θαυμάσια, καὶ τῶν πικρῶν ὀδυνῶν ταχύν σε, Πάτερ, σωτῆρα ἐκ Θεοῦ μοι φανῆναι, καθικετεύω σε.

Θεοτοκίον.

Ὁ πολλαῖς ἁμαρτίαις καταχρασθεὶς, ἄχραντε, τέτρωμαι ψυχήν τε καὶ σῶμα, τάλας καὶ βέβλημαι, καθηλκωμένος δεινῶς· ἀλλὰ τῇ σῇ προστασίᾳ, οἰκτιρμῶν ἡ ἄβυσσος, σῶσόν με, δέομαι.

Διάσωσον ἀπὸ κινδύνων, 'Αλέξιε, σοὺς ἱκέτας, ὅτι πάντες πανευλαβῶς εἰς σὲ καταφεύγομεν, ὡς ἄφθονον κρήνην τῶν ἰαμάτων.

'Επίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε. κτλ.

Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ Κοντάκιον:

—Πρεσβεία θερμή.

Τῇ κρήνῃ τῶν σῶν θαυμάτων νῦν, 'Αλέξιε, προστρέχω βοῶν, ὀδύνῃ συνεχόμενος: Τῆς σαρκὸς τὰ τραύματα, καὶ ψυχῆς τὴν πόρωσιν ἴασε, καὶ τῶν δεινῶν με σῶσον σαῖς λιταῖς, τιμῶντα σεπτῶς τὴν θείαν χάραν σου.

'Ωδὴ Δ'. Σύ μου ἰσχὺς Κύριε.

"Υμνους κροτῶ κείμενος, Πάτερ, ἐν κλίνῃ μου, τοῖς ἐκ λάκκον, οἴμοι! καταβαίνουσιν ὁμοιωθεὶς, ὥσπερ ὁ Δαβὶδ ψάλλει, καὶ συγγνώμην αἰτοῦμαι, ὧν περ ἐξήμαρτον Θεῷ, καὶ θεραπείαν τῶν παθῶν τῆς σαρκός μου, σαῖς πρεσβείαις, τρισμάκαρ 'Αλέξιε.

Νᾶμα κρουνῶν, ὡς ἀπὸ κρήνης ἀκήρατον, τῆς σοροῦ σου, Πάτερ μεγαλώνυμε, θαυματουργὲ, βρύων ἀεννάως, φλογώσεις ψυχῆς καὶ σώματος δροσίζει, καὶ πραΰνει, τῶν παθῶν τὰς ὀδύνας θεραπεύων, καὶ σῶζον τοὺς κάμνοντας.

"Ανωθεν σὺ, ἄνθρωπος Θεοῦ, 'Αλέξιε, προσεκλήθης, ἀναγορευόμενος θείᾳ φωνῇ νόσων ἰατρὸς, φερώνυμε Πάτερ, καὶ πρόσ-

www.tezaurliturgic.ro
φορος ἀλεξίκακος, πιστῶν τοῖς κακέκτοῦσι· διὸ παρακαλῶ σε, πυρετοῦ καὶ ῥιγώσεως ῥῦσαί με.

Θλίψεις πολλαί, καὶ πλήρεις πόνων Ἀλέξιε, ὀδυνῶν τε σκῆνος, ὥσπερ κηρόν, τὸ ἐλεεινὸν λείψανον ζωῆς μου προσφῦσαι καταβιβρώσκουσιν, εἰς ᾅδου κατωτάτου κατασπᾶν ἀπειλοῦσαι. Πρόφθασον ἐκ τούτων καὶ σῶσόν με.

Θεοτοκίον.

Ῥεῦμα φθορᾶς φύσεως βροτῶν ἀνέστειλας Θεοτόκε, Λόγον σωματώσασα, τὸν ἐκ Πατρός, ὥσπερ ἐκ φωτὸς αἴγλη γεννηθέντα, καὶ σώσαντα τὸ ἀνθρώπινον· διὸ σὲ ἱκετεύω, χαλεποῦ με κινδύνου, καὶ κακώσεως ῥῦσαι πρεσβείαις σου.

Ὠδὴ Ε'. Ἵνα τί με ἀπώσω.

Ὡς πηγὴ παραδείσου τῆς Ἐδὲμ ἐκβλύζουσα, πάτερ Ἀλέξιε, τῶν πολλῶν θαυμάτων ἡ δοθεῖσά σοι χάρις ἐκκέχυται, ποτίζουσα καρδίας, καὶ ψυχῶν καὶ σωμάτων ἰωμένη τὰς νόσους ἑκάστοτε.

Πᾶσα πεῖρα γηίνης ἰατρείας ἄπρακτος ὅλως ἐξήλεγκται ἐν ἐμοί, καὶ κεῖμαι, φεῦ! τὰ λοίσθια πνέων ὁ δείλαιος· ἀλλά σοι τῷ σωτῆρι, ἐκ Θεοῦ δεδομένῳ, προσελθὼν ἱκετεύω σωθῆναί με.

Ἐπὶ κλίνης ὀδύνης, καὶ στρωμνῆς κακώσεως κείμενος, κράζω σοι: Ἐξελοῦμαι, Πάτερ, τῶν παμφάγων ὀδόντων, Ἀλέξιε, τοῦ πικροῦ θανάτου, ὁ παρειμένος ἀνορθώσας, καὶ παντοίως νοσοῦντας ῥυσάμενος.

Ἐνοικήσας Θεός σοι, πᾶσαν ὁ ἰώμενος νόσον, Ἀλέξιε, ὡς εὑρὼν σε ὄντως ἐνδιαίτημα θεῖον, ἀνέδειξε νόσων ἰατῆρα· ὃν κἀμοὶ τῷ δυστήνῳ ἐξιλέωσον, Πάτερ, σωθῆναί με.

Θεοτοκίον.

Ὕμνος ἅπας ἡττᾶται, Δέσποινα παντάνασσα, μὴ ἐξικνούμενος σοῦ τὰ μεγαλεῖα διηγήσασθαι τὰ ὑπερένδοξα. Ἀγγέλων καὶ ἀνθρώπων γενεαί σε καὶ τάξεις, εἰς αἰῶνας ἀεὶ μακαρίζουσι.

Ὠδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Ἐτάκησαν ὡς κηρὸς τὰ μέλη μου, καὶ ὡς ἄνθος τοῦ ἀγροῦ ἐμαράνθη πᾶσα σάρξ, καὶ ἐκλείπει τὸ πνεῦμά μου, καὶ ἡ ψυχή μου τῷ ᾅδη προσήγγισεν Ἀλέξιε· ἀλλ' ἐπιστάς, ἐκ φθορᾶς καὶ θανάτου με λύτρωσαι.

Κακώσεων τὸν ἑσμὸν Ἀλέξιε, καὶ πληθὺν τῶν συμφορῶν καὶ βασάνων, ὅσαι δεινῶς τὴν ἀθλίαν ζωήν μου, καὶ τὴν οἰκτράν μου ψυχὴν κατατρύχουσιν, ἐξάλειψον, ἐκδυσωπῶν τὸν Θεὸν καὶ σωτῆρα καὶ πλάστην μου.

www.tezaurliturgic.ro

Τὰ φάρμακα ἐπ' ἐμοὶ ἀνόνητα ἐξηλέγχθη, καὶ μηδὲν ὠφελοῦντα, καὶ πρὸς τὸ χεῖρον ἡ νόσος προβαίνει· διὸ τῇ θείᾳ σου σκέπῃ προσέδραμον Ἀλέξιε, ταῖς σαῖς εὐχαῖς, συμπαθέστατε ῥῶσιν παράσχου μοι.

Ἐπίχεε ἐπ' ἐμὲ τὸν ἔλεον, καὶ τὴν χάριν τῶν πολλῶν σου θαυμάτων, ὅσα Θεός σε δοξάζων δωρεῖται, τοῖς προσιοῦσι δεικνὺς ἀλεξίκακον Ἀλέξιε, καὶ πονηρᾶς ἐκ στρωμνῆς με κακώσεως ἔγειρον. Θεοτοκίον.

Ἰώμενον τῶν ἀνθρώπων ἅπασαν κεκμηκυῖαν παραβάσει τὴν φύσιν, καὶ αἰωνίου θανάτου λυτροῦντα, τὸν ἐκ Θεοῦ Θεὸν Λόγον πιστεύομεν ἐκ σοῦ τεχθέντα ἐν σαρκί, Θεοτόκε Παρθένε πανύμνητε.

Διάσωσον ἀπὸ κινδύνων, Ἀλέξιε, σοὺς ἱκέτας, ὅτι πάντες πανευλαβῶς εἰς σὲ καταφεύγομεν, ὡς ἄφθονον κρήνην τῶν ἰαμάτων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ . . . Εἶτα μνημονεύει ὁ Ἱερεύς.

Προστασία τῶν Χριστιανῶν.

Τὴν σεπτήν σου κάραν θησαυρὸν ἀλεξίκακον κεκτημένοι, σὲ πρέσβυν πρὸς Θεὸν προβαλλόμεθα· μὴ παρίδῃς σοὺς ἱκέτας ἄνθρωπε τοῦ Θεοῦ, ἀλλὰ τάχυνον ὡς συμπαθής, εἰς τὴν ἀντίληψιν ἡμῶν τῶν πιστῶς δεομένων σου· πρόφθασον ἐν ἀνάγκαις, καὶ σπεῦσον εἰς θεραπείαν, ἐπικαμπτόμενος λιταῖς τῶν τιμώντων σε Ἀλέξιε.

Εἶτα: Μνησθήσομαι τοῦ ὀνόματός σου.

Εὐαγγέλιον: Ἐν ταῖς ἡμέραις ἐκείναις.

Καὶ τοῦ Ὁσίου: Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς.

(ὃ λέγεται καὶ τῶν ἁγίων Ἀναργύρων.)

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. Β'.

Μή με χειμαζόμενον ἐν ἀπορείαις παντοίαις, καὶ κατατρυχόμενον ἀλγειναῖς ὀδύναις ψυχῆς καὶ σώματος, σὺ στερήσῃς Ἅγιε, σῆς ἐπισκέψεως ἀλλ' οἰκτείρας με τὸν δείλαιον, δέξαι τὴν δέησιν, ἣν ἀπὸ καρδίας προσάγω σοι· Θεὸς γάρ σε παράκλησιν καὶ παραμυθίαν πιστοῖς παρέσχεν. Ὅθεν κατωδύνως κραυγάζω σοι θεράπων τοῦ Χριστοῦ: Μή με παρίδῃς τὸν ἄθλιον, ἀλλὰ σπεύσας ἴασε.

Οὐδεὶς προστρέχων ἐπὶ σέ. κτλ.

Ὁ Ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὠδὴ Ζ'. Παῖδες Ἑβραίων.

Νέφος τῶν θλίψεων πυκνόν μου τὴν ταλαίπωρον ψυχὴν κα-

www.tezaurliturgic.ro
ταχαλύπτει, καὶ πικρῶν ὀδυνῶν ἡ μάστιξ καταικίζει τὸ σῶμά μου τὸ δύστηνον. Οἴκτηρόν με, ῥῦσαι Πάτερ.

Ἔχων θεόθεν σὺ τὴν χάριν τῶν ἰάσεων Ἀλέξιε τρισμάκαρ, θεραπείας κἀμὲ ἀξίωσον, καὶ ῥῦσαι ἀμηχανίας, ἅγιε, χαλεπῆς, ἐκδυσωπῶ σε.

Χεῖρά μοι ὄρεξον, ἐν κλίνῃ τῆς κακώσεως οἰκτρῶς κατακειμένῳ, καὶ καλοῦντι τὴν σὴν ἀντίληψιν ὦ Πάτερ· ἀντιλαβοῦ μου, σῶσόν με, φερωνύμως θεραπεύσας.

Ὤζεσαν, οἴμοι τῷ ἀθλίῳ! καὶ ἐσάπησαν σαρκὸς οἱ μώλωπές μου, καὶ ἐλπίς μου οὐκ ἔστι σωτηρίας. Σύ με φθορᾶς διάσωσον, ὦ θεράπων τοῦ Κυρίου. Θεοτοκίον.

Δέσποινα πάντων, Δέσποινά μου, Θεοτόκε, ἡ τεκοῦσα τὸν σωτῆρα καὶ Θεόν μου καὶ πλάστην, σαῖς πρεσβείαις, αὐτόν μοι ἐξιλέωσαι, τῷ πολλὰ ἁμαρτικότι.

Ὠδὴ Η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Ἵλεώς μοι προσβλέψαις οὐρανόθεν, πιστῶς ἱκετεύω, ὦ ἄνθρωπε Κυρίου, τὰ χαλεπὰ καὶ χρόνια ἰώμενος πάθη μου, πρεσβείαις πρὸς τὸν Δεσπότην ζωῆς τε καὶ θανάτου.

Ὀδυνῶμαι δεινῶς, καὶ θεραπείας ἐξ ἀνθρώπων θνητῶν ἁπάσης ἀποροῦμαι. Σὲ δυσωπῶ Θεοῦ θεράπων ἅγιε, πρόφθασόν με, σῶσον, ἔγειρον τῆς κλίνης, καὶ ῥῶσίν μοι παράσχου.

Νοσημάτων παντοίων τὸ σῶμά μου κεῖται, Πάτερ, μεστὸν, παρεῖταί μου τὰ μέλη, σάρκας, ὀστᾶ, τὰ νεῦρα πόνοι βόσκονται. Ἐλέησον, ὦ Πάτερ, σὸν πιστὸν ἱκέτην, καὶ ἴασαί με τάχος.

Θεοτοκίον.

Ὑπερένδοξε Μῆτερ τοῦ Θεοῦ μου, οὐρανοῦ τε καὶ γῆς καὶ κτίσεως ἁπάσης ἡ βασιλίς, ἡ τῶν πιστῶν ἀντίληψις, ὑμνῶ σε μετ' Ἀγγέλων, δοξάζω μετ' ἀνθρώπων, λατρεύων τὸν Υἱόν σου.

Ὠδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Σωτῆρά σε καμνόντων καὶ λυτρωτὴν, ὁ Θεὸς τοῖς πιστοῖς ἐδωρήσατο, πάθη ψυχῶν, καὶ σωμάτων ἄλγη παντοδαπὰ, ἰώμενον Ἀλέξιε, ἄνθρωπε Κυρίου, διὸ θερμῶς· ὦ Πάτερ, ἱκετεύω τῆς ψυχῆς καὶ σαρκός μου, τὰς βαρείας ὀδύνας θεράπευσον.

Ἰάσεων κρατῆρα ἀνελλιπῆ, τὴν τιμίαν σου χάραν, Ἀλέξιε, πᾶσι πιστοῖς προὔθηκεν ἡ χάρις ἡ ζωαρχικὴ, τοῦ παναγίου Πνεύματος, πάντας ἰωμένη τοὺς εὐλαβῶς αὐτὴν ἀσπαζομένους καὶ πρέσβυν πρὸς Θεόν σε προβαλλομένους μετὰ πίστεως.

Ὀχλούμενος συμπτώμασι συμφορῶν, ὡς τεμένει τῶν θείων

www.tezaurliturgic.ro

χαρίτων σοι, προσπεφευγώς, δέησιν ἐκ στόματος ῥυπαροῦ, ἐξ ὀφθαλμῶν δὲ δάκρυα, καὶ ἀπὸ καρδίας μου στεναγμοὺς, προσάγων, ἱκετεύω, Ἀλέξιε τρισμάκαρ, μή με παρίδῃς ἀπολλύμενον.

Θεοτοχίον.

Σὲ πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, εὐλογοῦσιν ἀεὶ, Σὲ δοξάζουσι, Μῆτερ Θεοῦ, πᾶσαι τῶν ἀνθρώπων αἱ γενεαί. Σὲ οἱ πιστοὶ κατέχομεν, ἄγκυραν τῆς πίστεως ἀσφαλῆ, Σὲ σκέπην, Σὲ λιμένα, Σὲ χαρὰν καὶ δόξαν, Σαῖς πρεσβείαις σωθείημεν Δέσποινα.

## ΜΕΓΑΛΥΝΑΡΙΑ.

Πρῶτον τὸ Ἄξιον ἐστὶν, εἶτα τὰ τροπάρια:

Τὸν ἐν σωφροσύνῃ διαπρεπῆ, καὶ ἐν ἐγκρατείᾳ, τηλαυγῆτε καὶ φαεινὸν, λάμψαντα φωστῆρα, τὸν ἄνθρωπον Κυρίου, Ἀλέξιον τὸν θεῖον πάντες τιμήσωμεν.

Τὸν ἐν ἀσθενείαις θεραπευτὴν, καὶ ἐν τοῖς κινδύνοις, λυτρωτήν τε καὶ βοηθὸν, παρὰ τοῦ Κυρίου, ἡμῖν ἀναδειχθέντα, Ἀλέξιον τὸν θεῖον ὕμνοις γεραίρομεν.

Δεῦτε οἱ νοσοῦντες, καὶ ἐν δεινοῖς πάθεσι τελοῦντες, ἀπαντλήσωμεν ἐκ πηγῆς, χάρας τῆς τιμίας, πιστοὶ, τῶν ἰαμάτων, τὰς χάριτας ἀφθόνως, ταύτην γεραίροντες.

Φρίττουσι τὰ πάθη τὰ τῶν βροτῶν, καὶ Δαιμόνων στίφη, δραπετεύοντα ἄφθονον νῦν τῶν ἐκ τοῦ Θεοῦ σοι δοθέντων χαρισμάτων, Ἀλέξιε τρισμάκαρ, τὴν ἐπισκίασιν.

Δεῦτε προσκυνήσωμεν οἱ πιστοὶ, τὴν πάντιμον χάραν, Ἀλεξίου πανευλαβῶς, ἣν ἐν τῇ ἁγίᾳ, Πελοποννήσου Λαύρᾳ, Θεὸς ἀπεθησαύρισε, πιστοῖς ἴαμα.

Ἅγιε Ἀλέξιε, ἐκτενῶς πρέσβευε Κυρίῳ ὑπὲρ πάντων τῶν εὐλαβῶς, σὴν τιμώντων χάραν, ὡς ἔχων παῤῥησίαν, σώζειν ἐκ τῶν κινδύνων, τούς σοι προστρέχοντας.

Πᾶσαι τῶν Ἀγγέλων. κτλ.

Τὸ Τρισάγιον. Εἶτα τὰ Τροπάρια: Ἐλέησον ἡμᾶς.

Δόξα. Κύριε ἐλέησον ἡμᾶς· Καὶ νῦν. Τῆς εὐσπλαγχνίας.

Εἶτα μνημονεύει ὁ Ἱερεύς.

Εἰς δὲ τὸν ἀσπασμὸν τῆς τιμίας χάρας, ψάλλομεν τὸ παρὸν Τροπάριον.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δέχου τὰς δεήσεις εὐμενῶς τῶν σοὶ προσφευγόντων ἐν πί-

www.tezaurliturgic.ro

στει, καὶ δεομένων θερμῶς, ἅγιε Ἀλέξιε, καὶ τὰς αἰτήσεις αὐτῶν ἐκπληρώσας, ἀπάλλαξον θλίψεων παντοίων, σώζων τοὺς ἱκέτας σου ταῖς πρὸς Θεόν σου λιταῖς, πόθῳ τὴν ἁγίαν σου κάραν κατασπαζομένους, ἀφθόνως τοῖς πιστοῖς πηγάζουσαν ἰάματα.

Καὶ Ἀπόλυσις.

## ΤΡΟΠΑΡΙΑ

Ψαλλόμενα εἰς τὴν μετὰ τῆς ἁγίας κάρας Λιτανείαν.

Ἦχος πλ. Α΄.

Δεῦτε φιλέορτοι πάντες, πνευματικὴν φορείαν στησάμενοι, ἄνθεσιν ἐγκωμίων τὸν ἄνθρωπον τοῦ Θεοῦ στεφανώσωμεν, Ἀλέξιον τὸν ἀοίδιμον· οὗτος γὰρ τὸν μεγάλαυχον δράκοντα ἀνδρειοφρόνως κατεπάτησε, καὶ τῆς νίκης τὸ στέφος μεγαλοπρεπῶς ἀνεδήσατο. Διὸ πρὸς αὐτὸν βοῶντες εἴπωμεν: Χαίροις ὁ πύργος τῆς ὑπομονῆς ὁ ἀκλόνητος, καὶ τῆς ἐγκρατείας λαμπτὴρ ὁ πολύφωτος· χαίροις τὸ παρθενίας ἐντρύφημα, καὶ τῆς σωφροσύνης ἀγλάϊσμα· χαίροις τὸ τῆς καθαρότητος ἔσοπτρον, ἀκοιμήτοις δάκρυσι κατανύξεως λαμπρυνόμενον, τὸ χρύσεον σκεῦος τοῦ θείου φόβου, ἡ ἔνθεος εὐωδία τῶν ἀρετῶν, ἡ τοὺς πιστοὺς εὐωδιάζουσα, καὶ πρὸς καρτερίαν ἐν πειρασμοῖς ἐνισχύουσα. Χριστῷ τῷ Θεῷ παριστάμενος, αἴτησαι Ἀλέξιε, εἰρήνην δοθῆναι τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος. Α΄.

Δαβιτικῶς αἱ τῶν δικαίων χορεῖαι ἐν Κυρίῳ εὐφράνθητε σήμερον, καὶ πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ, ἐν αὐτῷ ἐγκαυχήσασθε, ὁρῶντες τὸν ὁσίως τὸν βίον διανύσαντα, Ἀλέξιον τὸν τρισόλβιον, ἐκ Θεοῦ δεδοξασμένον, ἐν θαύμασι καὶ ποικίλαις δυνάμεσι, δι᾿ ὧν τὴν ἐν οὐρανοῖς αὐτοῦ δόξαν ἅπαντες οἱ πιστοὶ τεκμαιρόμεθα. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. Δ΄.

Ἀγάλλου ἐν Κυρίῳ πόλις τῶν Καλαβρύτων, ἐν κόλποις κατέχουσα τὴν πάντιμον κάραν Ἀλεξίου τοῦ Ὁσίου, θησαυρὸν ἀδαπάνητον. Δι᾿ αὐτῆς γὰρ ποικίλας δυνάμεις θαυμάτων ὁ Θεὸς τοῖς ἐν πίστει προσιοῦσι παρέχει· ῥῶσιν οἱ νοσοῦντες λαμβάνουσιν, οἱ πενόμενοι πορισμόν, οἱ γηπόνοι τῶν καρπῶν τὴν συγκομιδήν, οἱ θαλαττεύοντες ἀσφαλῆ κυβέρνησιν, καὶ οἱ πολεμούμενοι συμμαχίαν εὑρίσκουσιν ἰσχυράν, καὶ οἱ παν-

www.tezaurliturgic.ro
τοίαις ἐν συμφοραῖς καὶ θλίψεσι τοῦ βίου παραμυθίαν, καὶ οἱ πρὸς ἀπόγνωσιν ὠθούμενοι, σωτηρίας ἐλπίσι κουφίζονται. Ταύτην πίστει καὶ πόθῳ κατασπαζόμενοι βοήσωμεν: Κύριε, πρεσβείαις τοῦ Ὁσίου σου ἀνθρώπου, τὴν πόλιν σου ταύτην, καὶ τὴν Μονὴν τῶν οἰκετῶν σου περίζωσε, καὶ πᾶσαν πόλιν καὶ χώραν τῶν λατρευτῶν σου ἐν εἰρήνῃ διαφύλαττε, τοῦ Ὀρθοδόξου λαοῦ σου τὸ κέρας ἀνυψῶν, καὶ πᾶσι παρέχων σωτηρίαν ψυχῆς, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ἐν τῷ σκηνώματι τοῦ Κυρίου σου, καὶ ἐν ὄρει ἁγίῳ αὐτοῦ κατεσκήνωσας, Ἀλέξιε παμμακάριστε· ἀμώμως γὰρ ἐν βίῳ περιεπάτησας, καὶ δικαιοσύνην ἐξήσκησας, τῷ κρείττονι τὸ χεῖρον καθυποτάξας· Διὸ παῤῥησίαν πρὸς Θεὸν κεκτημένος, μὴ διαλίπῃς ὑπὲρ ἡμῶν τῷ Δεσπότῃ πρεσβεύων, τοῦ οἰκτηρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἦχος Δ'.

Ὅσιε παμμάκαρ Ἀλέξιε, σὺ καὶ μετὰ θάνατον ἐν οὐρανοῖς ζῇς ἐν τῷ Χριστῷ, δι' ὃν σεαυτὸν ἐσταύρωσας τῷ κόσμῳ· οὐ γὰρ ἔζης σεαυτῷ, ἔζη δὲ μᾶλλον ἐν σοὶ Χριστὸς ὁ Θεὸς ἡμῶν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. Δ'.

Τοὺς θορύβους τοῦ βίου καταλιπών, Ἀλέξιε ὅσιε, καὶ τοῦ Σωτῆρος τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος, ὅλον σεαυτὸν τῷ Θεῷ καθιέρωσας· διὸ καὶ μετὰ σαρκὸς ἐν κόσμῳ βιοτεύων, ἔξω σαρκὸς ἐδόκεις καὶ κόσμου πανεύφημε, συντόνῳ καθ' ἑκάστην ἐγκρατείᾳ ἐξασκούμενος, καὶ μετὰ Ἀγγέλων τῷ πνεύματι συνὼν καὶ συνευφραινόμενος. Παῤῥησίαν οὖν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε, τοῦ ῥυσθῆναι κινδύνων καὶ θλίψεων τοὺς πιστῶς ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Ηχος πλ. Α'.

Ὅσιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ τὴν ψυχὴν τῆς δουλείας τῶν παθῶν ἠλευθέρωσας, καθυποτάξας τὴν σάρκα τῷ πνεύματι, καὶ σεαυτὸν ἀνέδειξας τοῦ θείου Πνεύματος καταγώγιον· ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρί, μονὴν παρὰ σοὶ ἐποιήσατο, καὶ τῆς ὁμοουσίου Τριάδος δοχεῖον καθαρὸν ἀπειργάσατο. Καὶ νῦν, Ἀλέξιε παμμακάριστε, παρεστὼς τῷ Κυρίῳ, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

Ηχος πλ. Β'.

Βίον ἰσάγγελον ἐπὶ γῆς πολιτευσάμενος, καὶ πᾶσαν ἀρετῶν ἰδέαν ἐν σεαυτῷ θησαυρίσας ἐκ νεότητος, νοῦν ἡγεμόνα κατὰ παθῶν ἐνεστήσω γρηγοροῦντα, καὶ ὡς φαίνοντι λύχνῳ τούτῳ χρησάμενος, παννύχοις καὶ πανημέροις εὐχαῖς καὶ στάσεσιν ἀνενδότοις, τὰ τῶν θηρευόντων θήρατρα συνέτριψας, καὶ τὰς πολυπλόκους ἐνέδρας αὐτῶν ἐξηφάνησας, Ἀλέξιε μακάριε, καὶ λαμπρῶς ἠρίστευσας, τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον. Διὸ Χριστός σε ἐδόξασεν, ἄνθρωπον Θεοῦ ἀναγορεύσας σε, καὶ τὴν ἱεράν σου κοίμησιν θαύμασι πολλοῖς ἐμεγάλυνε, καί σε μετὰ τῶν φρονίμων παρθένων εἰς νυμφῶνα τὸν ἐπουράνιον συνεισήγαγε, τῷ κάλλει τῷ ἀμηχάνῳ τῆς θείας αὐτοῦ δόξης ἐντρυφῶντα εἰς αἰῶνας. Ὃν μὴ παύσῃ δυσωπῶν, ὅπως καὶ ἡμᾶς ἀξιώσῃ, τὸν τῆς νηστείας δίαυλον ἐν ἁγνείᾳ διανύσαι, καὶ τὰ πάνσεπτα πάθη καθαρῶς προσκυνῆσαι, καὶ λαμπρῶς ἑορτᾶσαι τὴν τριήμερον αὐτοῦ ἐξανάστασιν.

Ηχος πλ. Α'.

Δεῦτε φιλεόρτων τὸ σύστημα, φαιδρῶς πανηγυρίζοντες, καὶ χαρμονικῶς ἐν ᾄσμασι κροτοῦντες, ὕμνοις ἱεροῖς ἀνευφημήσωμεν Ἀλέξιον τὸν πανεύφημον· οὕτω λέγοντες: Χαίροις ὁ τῷ Δεσπότῃ Χριστῷ πειθαρχήσας λέγοντι: « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος,» καὶ τούτου τὴν ἀγάπην τῆς τῶν γονέων προτιμήσας. Χαίροις ὁ δόξαν καὶ πλοῦτον καὶ θάλαμον καταλιπὼν, καὶ τὰ τοῦ βίου τερπνὰ ὡς σκύβαλα διὰ Χριστὸν ἡγησάμενος. Χαίροις ὁ τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος, καὶ πᾶσαν κακουχίαν καὶ θλῖψιν ἑλόμενος, καὶ μέχρι τέλους τῷ καλέσαντι Χριστῷ γενόμενος ὀπαδός. Χαίροις ὁ ἁγνείᾳ καὶ σωφροσύνῃ, καὶ πολλῇ ἐγκρατείᾳ, τοῖς ἀσωμάτοις Ἀγγέλοις ὀφθεὶς ἐφάμιλλος. Χαίροις ὁ πάσας ἀρετὰς ὡς μίαν κατορθώσας, καὶ τὸν πάλαι τῆς προμήτορος πτερνιστὴν ἀνδρείως τρεψάμενος. Χαίροις ὁ λαμπρῶς ἐπὶ πάντων οὐρανοφοίτῳ φωνῇ ἄνθρωπος Θεοῦ μαρτυρηθεὶς, καὶ ἀκούσας « εὖ δοῦλε ἀγαθὲ, » καὶ εἰς τὴν χαρὰν εἰσελθὼν τοῦ Κυρίου σου. Ἀλλὰ πρέσβευε καὶ ὑπὲρ ἡμῶν, Ἀλέξιε μακάριε, ἵνα ῥυσθῶμεν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, δουλεύοντες τῷ Κυρίῳ ἐν φόβῳ, καὶ τῆς ἐκ δεξιῶν παραστάσεως τύχωμεν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.